ΙΕΡΟΣΟΛΥΜΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ΗΤΟΙ

ΚΑΤΑΛΟΓΟΣ ΤΩΝ ΕΝ ΤΑΙΣ ΒΙΒΛΙΟΘΗΚΑΙΣ

τοῦ ἁγιωτάτου ἀποστολικοῦ τε καὶ καθολικοῦ ὀρθοδόξου πατριαρχικοῦ

θρόνου τῶν Ἱεροσολύμων καὶ πάσης Παλαιστίνης ἀποκειμένων

ΕΛΛΗΝΙΚΩΝ ΚΩΔΙΚΩΝ

ΣΥΝΤΑΧΘΕΙΣΑ ΜΕΝ ΚΑΙ ΦΩΤΟΤΥΠΙΚΟΙΣ ΚΟΣΜΗΘΕΙΣΑ ΠΙΝΑΞΙΝ

ὑπὸ

Α. ΠΑΠΑΔΟΠΟΥΛΟΥ - ΚΕΡΑΜΕΩΣ

τύποις δ' ἐκδοθεῖσα ἀναλώμασι τοῦ

ΑΥΤΟΚΡΑΤΟΡΙΚΟΥ ΟΡΘΟΔΟΞΟΥ ΠΑΛΑΙΣΤΙΝΟΥ ΣΥΛΛΟΓΟΥ

ΤΟΜΟΣ ΠΡΩΤΟΣ

1891

impression anastatique

CULTURE ET CIVILISATION
115, AVENUE GABRIEL LEBON
BRUXELLES
1963





ΙΕΡΟΣΟΛΥΜΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ΗΤΟΙ

ΚΑΤΑΛΟΓΟΣ ΤΩΝ ΕΝ ΤΑΙΣ ΒΙΒΛΙΟΘΗΚΑΙΣ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΑΠΟΣΤΟΛΙΚΟΥ ΤΕ ΚΑΙ ΚΑΘΟΛΙΚΟΥ ΟΡΘΟΔΟΞΟΥ ΠΑΤΡΙΑΡΧΙΚΟΥ ΘΡΟΝΟΥ

ΤΩΝ ΙΕΡΟΣΟΛΥΜΩΝ ΚΑΙ ΠΑΣΗΣ ΠΑΛΑΙΣΤΙΝΗΣ

ΑΠΟΚΕΙΜΕΝΩΝ

ΕΛΛΗΝΙΚΩΝ ΚΩΔΙΚΩΝ



ΤΩΙ ΜΑΚΑΡΙΩΤΑΤΩΙ ΚΑΙ ΠΑΝΑΓΙΩΤΑΤΩΙ

ΠΑΤΡΙΑΡΧΗΙ

ΠΡΩΗΝ ΙΕΡΟΣΟΛΥΜΩΝ ΚΑΙ ΠΑΣΗΣ ΠΑΛΑΙΣΤΙΝΗΣ

Κυρίῳ Κυρίῳ

ΝΙΚΟΔΗΜΩΙ ΤΩΙ Α̅

ΤΩΙ ΕΝ ΧΡΙΣΤΩΙ ΣΕΒΑΣΜΙΩΤΑΤΩΙ ΗΜΩΝ ΠΑΤΡΙ

ΚΑΙ ΠΡΟΣΚΥΝΗΤΩΙ ΔΕΣΠΟΤΗΙ

ΤΗΝ ΒΙΒΛΟΝ ΤΑΥΤΗΝ Ο ΕΚΠΟΝΗΣΑΣ

ΕΥΧΑΡΙΣΤΙΑΣ ΕΝΕΚΕΝ

ΑΝΕΘΗΚΕΝ.

ΜΑΚΑΡΙΩΤΑΤΕ ΠΑΤΕΡ,

Τὸ ἔργον σὺν Θεῷ τελέσας ἁγίῳ, ὅπερ μοι ἐνετείλω, ἡνίκα Σὺ τὸν πατριαρχικὸν καὶ ἀποστολικὸν θρόνον τῆς ἁγίας ἐκόσμεις πόλεως, οὐδενὶ ἄλλῳ κατακεκοσμῆσθαί μοι τοῦτο ὀνόματι δίκαιον ἔδοξεν, ἢ τῷ τῆς Σῆς Μακαριότητος, ἣ καὶ γεννήτης ἐκείνου καὶ μαιευτής. Σὺ γὰρ τῶν μὲν εἰς φῶς νῦν ἐκφερομένων κειμηλίων εἴπερ τις ἄλλος πρεπόντως ἐφρόντισας, τοῖς δὲ τὸν ἕλληνα φιλοῦσι λόγον καὶ τὴν ἱερὰν ἐπιτηδεύουσι θεολογίαν δῶρα πολλὰ ἐδωρήσω, τόνδε τὸν πίνακα καὶ τὰ τούτῳ συμπαρακολουθοῦντα ποικίλων συγγραφῶν ἀνάλεκτα μεγαλοψύχως αὐτοῖς συμπαραθέμενος. Σοῦ οὖν, Μακαριώτατε Πάτερ, εὐμενῶς τὸν γόνον τῆς Σῆς ἀποδεχομένου σοφίας, θερμῶς δέομαι τῇ μὲν ἁγιαζούσῃ καὶ μακαρίᾳ Σου εὐλογίᾳ σαίνειν με, ταῖς δὲ θεοδέκτοις Σου λιταῖς εἰς τὸ λοιπὸν τοῦ βίου εὐθύνειν.

Ὁ τῆς Σῆς Μακαριότητος
ταπεινὸς ἐν Χριστῷ υἱὸς
Α. Παπαδόπουλος-Κεραμεύς.

Μηνὶ νοεμβρίῳ τοῦ 1891 ἔτους.



ΠΡΟΛΟΓΟΣ

Τὸ ἐν χερσὶ βιβλίον εἰς τέσσαρας μεμερισμένον τόμους δισχίλια καὶ τετρακόσιά που καθ' ἓν ἕκαστον γραπτὰ διεξέρχεται τεύχη, ἃ κώδικας ἢ χειρόγραφα κοινῶς λέγομεν· ἐξ ὧν ὀκτακόσια μὲν καὶ πεντήκοντα ἐν τῇ κατὰ Βυζάντιον ἱεροσολυμιτικῇ ἀπόκειται βιβλιοθήκῃ, τὰ δὲ λοιπὰ ἐν αὐτοῖς τοῖς Ἱεροσολύμοις. Τούτων δὲ πάντων κύριος ὅ τε πανάγιος τοῦ Σωτῆρος τάφος καὶ τὸ ἐπιμελούμενον τούτου καθολικὸν καὶ ὀρθόδοξον πατριαρχεῖον· οὗ οἱ προγεγονότες προστάται—οἱ πατριάρχαι μετὰ τῶν περὶ αὐτοὺς ἐλλογίμων κληρικῶν—φροντίδα ἐκείνοις συνεχῆ, ὡς οἱ καιροὶ συνεχώρουν, παρεῖχον· οἱ μὲν γὰρ αὐτοχειρὶ ἀπογράφοντες ἢ καὶ συγγράφοντες ἐπηύξανον, ἢ ἄλλους τὰ ἑαυτοῖς χρήσιμα ἀπογράφειν ἐκέλευον, οἱ δὲ τὰ εὑρισκόμενά που ἀτίμως κείμενα συλλαμβάνοντες ἢ καὶ τὰ πιπρασκόμενα ἀργυρίου ὠνούμενοι ἐναπετίθεσαν εἰς τὰς ἐν Βυζαντίῳ τε καὶ Παλαιστίνῃ βιβλιοθήκας [1]. Εἰσὶ δ' οἱ καὶ ἀφιερώσει ἀναθέντες οὐκ ὀλίγοι, περὶ ὧν τὰ ἐν τοῖς κώδιξιν ὑπομνήματα ἱκανῶς διδάσκει. Τῶν δ' οἱωνδήτινων γραπτῶν τούτων βιβλίων πίναξ καθολικὸς οὐχ

[1] Οὗτοι δ' εἰσὶ πάνυ πολλοί, οἷον Δωρόθεος α' Γερμανὸς Σωφρόνιος Νεκτάριος Δοσίθεος Χρύσανθος Μελέτιος καὶ Παρθένιος οἱ πατριάρχαι· ἔτι δ' ἡγούμενοι μονῶν πρωτοσύγκελλοί τε καὶ ἄλλοι τῶν κατὰ καιροὺς κληρικῶν τῆς ἱεροσολυμίτιδος ἐκκλησίας. Τῶν πατριαρχῶν δὲ Δοσίθεος μὲν καὶ ψήφισμα περὶ τῆς ἐν Ἱεροσολύμοις ἔγραψε βιβλιοθήκης, ἐξ οὗ οἵαν ἐκεῖνος αὐτῇ παρέσχε φροντίδα, σαφῶς βλέπομεν· ὅρα δὲ τοῦτο ἐν σελίδι 855 τῶν ἐν τοῖς ἀρχείοις τοῦ πατριαρχείου ἀνεκδότων τοῦ Δοσιθέου ἐπιστολῶν. Χρύσανθος δ' ὁ Νοταρᾶς τῆς ἐν Βυζαντίῳ μάλιστα ἐπεμελεῖτο βιβλιοθήκης. Κύριλλος δὲ Ἀθανασιάδης ὁ σπουδαῖος ἀρχιμανδρίτης ὅσα οἱ μέχρις Ἱεροθέου πατριάρχαι περὶ τῶν ἱεροσολυμιτικῶν ἔπραξαν βιβλιοθηκῶν, κατ' ἔκτασιν ἐν οἰκείῳ συνέγραψε βιβλίῳ δι' ἐφημερίδων διαδοθέντι· ὅπερ ἐγὼ σὺν ὑπομνήμασιν εἰς τὸν τρίτον τοῦ καταλόγου τοῦδε μετεκδίδωμι τόμον.



εὑρίσκετο [1]· δι' ὃ αὐτὸ μὲν τὸ πατριαρχεῖον εὐθύνας ὀφεῖλον τὰ ὑπάρχοντα τέως γιγνώσκειν κατὰ λεπτὸν οὐχ οἷόν τε ἦν, οὐδὲ μὴν τὸ ποιὸν εἰκάζειν τῶν πλειόνων· οἱ δὲ τὸν ἕλληνα λόγον καὶ τὴν ἱερὰν ἐπιτηδεύοντες θεολογίαν, ὕλην αὐτοῖς χρήσιμον ἀναζητοῦντες ἄλλοσε μὲν ἄφθονον εὕρισκον, ἐν δὲ ταῖς ἱεροσολυμιτικαῖς βιβλιοθήκαις πάνυ σμικράν, τὸν ὁδηγήσοντα πίνακα μὴ ἔχοντες· αἱ γὰρ ἀναγραφαί, ἃς δύο ἢ τρεῖς ἐλλόγιμοι Εὐρωπαῖοι ἔτυχον συγγεγραφότες, ψιλαί τε καὶ ἐλλιπεῖς καὶ τὰ πολλὰ οὐκ ἀκριβεῖς ἐκρίνοντο [2]. Ἦσαν δὲ καὶ οἱ τὰ ὁπωσδήποτε φυλαττόμενα ἐφθαρκότες οὐκ ὀλίγοι· ἀμαθεῖς μὲν γὰρ μοναχοὶ πολλὰ ἔστιν ὅτε ἐξηφάνισαν, ἢ τοῖς χάρταις καὶ ταῖς περγαμηναῖς ἐπ' ἄλλα χρησάμενοι πράγματα ἢ ἀπεμπολήσαντες ἢ καὶ οἷά τινα φρύγανα τῷ πυρὶ παραδόντες ἐφ' ἑψήσει σιτίων· ὅσοι δὲ μὴ τοιοῦτοι ἢ καὶ τοῦ μοναχικοῦ ἀμοιροῦντες τριβωνίου — οὗτοι δὲ ξένοι τινὲς καὶ ἀλλόφυλοι ἦσαν — οἰκτείροντες τὴν ἀμέλειαν καὶ οἷον αὐτόκλητοι σωτῆρες

[1] Πίνακες ἦσαν γραπτοὶ ἐνίων κωδίκων οὔτ' ἀκριβεῖς οὔτε λεπτομερεῖς, ἐξ ὧν εἷς τῷ 1817 ἔτει συντεθεὶς πρὸς τῷ τέλει τοῦ τόμου τοῦδε κατεχωρίσθη· τῆς δ' ἐν Βυζαντίῳ βιβλιοθήκης πίναξ συνοπτικὸς ἔτει 1731 ἐγένετο, ὃς ἐπιγραφὴν φέρει τήνδε: «Κατάλογος πάντων τῶν βιβλίων τῶν ἐν τῇ ἱερᾷ βιβλιοθήκῃ τοῦ ἐν Κωνσταντινουπόλει θείου καὶ ἱεροῦ μετοχίου τοῦ παναγίου καὶ ζωοδόχου τάφου, ἐπὶ Μελετίου τοῦ μακαριωτάτου καὶ θειοτάτου πατριάρχου τῶν Ἱεροσολύμων· ἔτει ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας ‚αψλα' κατὰ μῆνα μάρτιον». Μετὰ δὲ τοῦτον ἄλλοι συνετάχθησαν κατάλογοι, ὧν ἕνα Σάθας τύποις ἐξέδοτο (Μεσαιωνικὴ Βιβλιοθήκη, τ. Ι, σ. 287—312). Ἔτει δὲ 1864 ἀρχιμανδρίτης Ῥώς, ὁ σοφώτατος καὶ ἁγιώτατος Ἀντωνῖνος, κατάλογον καλὸν αὐτοβούλως συνέγραψεν, ἐν ᾧ 624 διεξέρχεται τεύχη· ὃν ὕστερον Ἐμμανουὴλ Ἰωαννίδης ὁ Ἀμοργῖνος μικρὸν ἐπιθεωρήσας αὐτοχειρὶ ἐξέγραψε καὶ τῷ τότε βιβλιοφύλακι δῶρον ἔδωκεν.

[2] Ὅρα τὰ ἐφεξῆς βιβλία: J. M. Aug. Scholz, Biblisch-kritische Reise. Leipzig, 1823, σ. 140-149. Pertz, Archiv d. Gesellschaft für ältere deutsche Geschichtkunde, τ. IX, σ. 645-656, ἔνθα L. Bethmann 95 τεύχη ἱκανῶς ἀναγράφει: Handschriften d. Patriarchats von Jerusalem in Konstantinopel.—Philologus V, σ. 758-762. — R. Curzon, Besuche in den Klöster der Levante. Nach den dritten Auflage deutsch von R. R. W. Meissner. Leipzig 1851, σ. 105, 116, 117.—H. O. Coxe, Report to Her Majesty's Government on the greek manuscripts yet remaining in libraries of the Levant. London, 1858, σ. 45-61 καὶ 75-76. Τὸ δὲ Report τοῦ Coxe κατ' ἄλλο αὐτοῦ τοῦ συγγραφέως ἀπόγραφον ἐν Ἱεροσολύμοις εὑρεθὲν (1859) τύποις ἐξεδόθη ἀνωνύμως φροντίδι O. Бодянскій: Греческія книгохранилища Востока и ихъ рукописи, осмотрѣнныя однимъ англійскимъ путешественникомъ въ 1858 году. Москва, 1871, εἰς 8-ον, σελίδες 32.



ἐμφανιζόμενοι τὰ μὲν ἀνῄρουν, τῶν δὲ τεμάχη ἀφήρπαζον, ἢ προφάσεις τινὰς προβαλλόμενοι, ἢ δέη ποικίλα ἐπάγοντες. Μείζονα δὲ φθοράν, καὶ ταύτην ἀνυπόθετον, οἱ παρεληλυθότες ἐπήγαγον χρόνοι· ὑδάτων μὲν γὰρ πλησμονῇ ἢ καὶ ἐμπρησμοῖς τεύχη προσαγωγὰ καὶ λόγου ἄξια ἢ καὶ τὸ εἶδος καλὰ ἄρδην κατελύθη ἢ καὶ ἐξίτηλα τὰ πολλὰ ἐγένετο· Ἀράβων δὲ καὶ Φράγκων ἐπιδρομαῖς τὰ μὲν διελύθη, τὰ δ᾽ ἀπεξενώθη διασπαρέντα. Οἱ γοῦν κατὰ Παλαιστίνην μονάζοντες σωτηρίαν ἑαυτοῖς τε καὶ ταῖς κινδυνευούσαις οἷα εἰκὸς πορίζοντες λαύραις, τὸ τελευταῖον τῶν ἀπομεινάντων βιβλίων κρύπτας τῆς Σάβα τοῦ θεοφόρου ἐχυρᾶς λαύρας ἄσυλον ὡρίσαντο· ἵνα καὶ πρὸ ἐτῶν τεσσάρων πλείω ἢ ἑπτακόσια τεύχη εὑρέθη ἀμελῶς κείμενα, ἃ εἴ τις παρατυχὼν ὡς τότ᾽ εἶχον εἶδε, δάκρυα χέων ὀργὴν ἂν ἴσως ἐπὶ τοὺς φυλακοῦντας ἐνέγκαι [1].

Τὸ μέντοι ἐλλεῖπον καὶ ἃ ἔδει πράττειν ὑπὲρ τῶν ὑπολειφθέντων οἱ παρερχόμενοί τε τῶν πατριαρχῶν καὶ οἱ περὶ αὐτοὺς ἐλλόγιμοι ἱεροσολυμῖται ἀδεῶς ὡμολόγουν καὶ ταῦτα πραχθῆναι ηὔχοντο· ἀπορίᾳ δὲ χρημάτων, ἀτολμίᾳ τε καὶ ἀνεπιστημοσύνῃ τῶν πρακτέων ἀφίσταντο. Ἦν δὲ καὶ τὸ πρακτέον μέγα πολύμοχθόν τε καὶ ἀχάριστον, οὐχ ἑνὸς ἀλλὰ πολλῶν τῆς συνεργίας χρῇζον. Ἄνδρες δ᾽ ὅμως μεγαλόψυχοι τὰ ἐντυγχάνοντα τοῖς πραχθησομένοις κωλύματα εὖ ἴσασιν ὑπερπηδᾶν· οἷος ἦν ὁ ἁγιώτατος πατριάρχης Νικόδημος, ὃς ἡνίκα τοῦ θρόνου τῆς Σιωνίτιδος ἦρχεν ἐκκλησίας, βουλὴν ἐβουλεύσατο γενναίαν, τοὺς μὲν κώδικας τῶν ἐν Παλαιστίνῃ μονῶν εἰς τὴν πατριαρχικὴν εἰσκομισθῆναι βιβλιοθήκην, τούτων δὲ πάντων καὶ τῶν ἐν Βυζαντίῳ κατάλογον γενέσθαι λεπτομερῆ καὶ τύποις ἐκδοθῆναι. Καὶ γοῦν πρὸς τὸ ἔργον ἐχώρησεν ἀπὸ Βυζαντίου ἀρξάμενος, Δαμιανοῦ μὲν Σαμίου τοῦ ἀρχιμανδρίτου ἡγουμενεύοντος, Γερμανοῦ δὲ σκευοφυλακοῦντος· οἳ καὶ τὸν τάδε γράφοντα παρακαλέσαντες τὸ πρακτέον κελεύσαντος τοῦ πατριάρχου

[1] Τῶν ἐν τῇ λαύρᾳ κωδίκων Σάβα τοῦ θεοφόρου κατάλογον εὐσύνοπτον ὁ ἀρχιμανδρίτης Ἀντωνῖνος ὁ Ῥῶς πρὸ ἐτῶν συνέταξε πολλῶν, ἐν ᾧ 536 ἀναγράφει τεύχη· τοῦ δὲ πίνακος τούτου δύο ἀπόγραφα εἶδον, τὸ μὲν ἐν τῷ πατριαρχείῳ Ἱεροσολύμων, τὸ δ᾽ ἐν τοῖς ἀρχείοις τοῦ αὐτοκρατορικοῦ Παλαιστινοῦ συλλόγου.

ἐπέτρεψαν. Ὁ δ' ἐν βραχεῖ τὰ μὲν τύποις ἐκδεδομένα εἰς θήκας ἄρτι εἰργασμένας κατ' εἶδος ἐναπέθετο καθόλου, ἀριθμοὺς ἐπιθεὶς καὶ χερσὶν ἄλλων εἰς χαρτία ἀπογραψάμενος, ἵν' ὕστερον μεθοδικὸς καὶ τούτων πίναξ γένηται· τὰ δὲ γραπτὰ τεύχη εἰς ἕνα συναγαγὼν τόπον καὶ κατὰ σχῆμα ἐλλείψει χώρου διατάξας, ἀριθμοὺς αὐτοῖς καινοὺς ἐπέθετο καὶ τῆς ἀπογραφῆς τούτων, τῇ ἰδίᾳ μεθόδῳ χρώμενος, κατήρξατο. Οὔπω δὲ τοῦ ἔργου τελεσθέντος, ἔδοξε τῷ πατριάρχῃ εἰς Ἱεροσόλυμα αὐτὸν παρακαλέσαι, ἵν' ἐκείνῳ μὲν γραμματεύῃ, ἐν δ' ὥραις σχολῆς τῆς τε διατάξεως καὶ τῆς ἀπογραφῆς τῶν ἐκεῖσε φροντίζῃ κωδίκων, ἕως ἄλλη τις ὑπουργία αὐτὸν αὖ εἰς Βυζάντιον καλέσειε καὶ οὕτω πέρας τῷ πρώτῳ δοίη ἔργῳ [1].

Παραγενόμενος οὖν εἰς τὴν ἱερὰν πόλιν (1887) τοῦ ἔργου ἡψάμην ἀπὸ τῆς πατριαρχικῆς ἀρξάμενος συλλογῆς, ἣ παλαιόθεν ἐν τῷ πατριαρχείῳ εὖ ἔχουσα ἔκειτο· ὁ δὲ πατριάρχης τὴν αὐτοῦ βουλὴν ἔργῳ πληρῶν καὶ φύσει τὰ γραπτὰ φιλῶν καὶ παλαιὰ τεύχη, τά τ' ἐν τῇ πόλει καὶ τὰ ἐκτὸς διεσπαρμένα συνέλεγε καὶ εἰς τὴν πατριαρχικὴν συνεκόμιζε βιβλιοθήκην, ἣν ἑνὶ τούτου γε ἕνεκεν ἐμεγέθυνε δωματίῳ, τὰ ἐν αὐτῇ διορθωτέα πρότερον πράξας. Καὶ μὴν τὴν μὲν παλαιὰν συλλογήν, ἣ τετρακοσίους ἤδη καὶ πλείω κώδικας ἐπλήρου, εἰς ἑξακοσίους καὶ τεσσαράκοντα καὶ πέντε ἀνήγαγεν, ἀπὸ δὲ τῶν μονῶν ἑκατοντάδας συγκομίσας βίβλων ἐν οἰκείαις διέταξε θήκαις· ὃ δὴ ὀνήσιμον καὶ σωτήριον ἔδοξε. Καὶ γὰρ οἵ τε τῆς μονῆς τοῦ τιμίου Σταυροῦ κώδικες καὶ οἱ τῆς λαύρας Σάβα τοῦ θεοφόρου ἐν Ἱεροσολύμοις νῦν εὕρηνται ἀσφαλῶς πεφυλαγμένοι, τόπους μὲν κεχωρισμένους κατέχοντες, ἐπιμελείας δὲ παρ' ὧν δεῖ τυγχάνοντες. Ἐφρόντισε δὲ καὶ τῆς σωτηρίας ἀλλογλώσσων κωδίκων, ὅσοι ἐν Παλαιστίνῃ ἐσῴζοντο τῷ παναγίῳ τοῦ Σωτῆρος προσήκοντες τάφῳ, οὓς κοινῆς ἕνεκεν ὠφελείας ἐν τῷ αὐτῷ διέταξεν ἱδρύματι. Κέκτηται τοίνυν

[1] Ὁ τῆς ἐν Βυζαντίῳ ἱεροσολυμιτικῆς βιβλιοθήκης κατάλογος, ὃν ἐγὼ κατ' ἔκτασιν ἠρξάμην συντάττειν ἐν ἔτει 1886, σχεδὸν συνετελέσθη μηνὶ αὐγούστῳ τοῦδε τοῦ ἔτους, Γερασίμου μὲν τοῦ μακαριωτάτου καὶ σοφωτάτου τῆς κατὰ Παλαιστίνην πατριαρχοῦντος ἐκκλησίας, Γερμανοῦ δὲ Ἀποστολάτου τοῦ σεβασμίου ἀρχιμανδρίτου ἐν Κωνσταντινουπόλει ἡγουμενεύοντος.

ἡ πατριαρχικὴ ἐν Ἱεροσολύμοις βιβλιοθήκη κώδικας μὲν ἑλληνικοὺς χιλίους τετρακοσίους καὶ ἑβδομήκοντα καὶ ἑπτά, ἐξ ὧν ἑξακόσιοι μὲν καὶ τεσσαράκοντα καὶ πέντε τὸ ἀρχαῖον κατέχουσι τμῆμα [1], ἑπτακόσιοι δὲ καὶ ἓξ τὴν Σαβαΐτιδα πληροῦσι συναγωγήν, ἑκατὸν δὲ καὶ ἐννέα τὴν τοῦ τιμίου Σταυροῦ, ἑπτακαίδεκα δὲ τὸ ἴδιον τοῦ πατριάρχου ἀνάθημα. Ἀλλόγλωσσα δὲ τεύχη ἐστὶ τάδε: 177 ἀραβικὰ ἢ περσικὰ ἢ τουρκικά, ὧν πίναξ λεπτομερὴς οὔπω ἐγένετο· 143 ἰβηρικά, ὧν κατάλογον ἐπαρκῆ ὁ Ἴβηρ Τσαγαρέλης τύποις ἐξέδοτο, ἡνίκα τὰ τεύχη ἀμελῶς ἐν τῇ μονῇ τοῦ Σταυροῦ ἔκειτο καὶ ἀριθμοὺς ἐπικειμένους οὐκ εἶχεν [2]· 50 συριακά, ὧν πίνακα ὅτε ἀνεχώρουν, ἀκήκοα συντετάχθαι παρὰ τοῦ φιλτάτου μοι φίλου J. Rendel-Harris [3]. 19 αἰθιοπικά, πίνακος ἰδίου οὐκέτι τυχόντα, καὶ σλαβικὰ ἢ βλαχικὰ εἴκοσι καὶ δύο, ἅπερ ὁ σεβάσμιος ἀνεγράψατο Κρασνοσέλσκης [4]. Ταῦτα μὲν οὖν αὐτοῦ κεῖται, χωρὶς

[1] Τετρακόσιοι καὶ εἴκοσί που κώδικες τῆς ἀρχαίας συναγωγῆς ἐπιτόμως πάνυ παρὰ τοῦ ἀρχιμανδρίτου Κυρίλλου Ἀθανασιάδου ἐν τῷ παλαιῷ τῆς βιβλιοθήκης καταλόγῳ ἀναγεγραμμένοι εἰσίν. Ἔλεξέ μοι δὲ Κύριλλος, ὅτι καὶ κατάλογον ἐκείνων κατ' ἔκτασιν συνέθετο πρὸς χρῆσιν ἰδίαν καὶ τῶν αὐτῷ συνήθων. Εὔκαιρον δὲ γράψαι, ὅτι περὶ μεθοδικῆς μελέτης τῶν ἐν Ἱεροσολύμοις κωδίκων ἐφρόντισε καὶ ὁ εἰς τὴν ἱερὰν πόλιν παραγενόμενος αὐτοκρατορικὸς μέγας δοὺξ Κωνσταντῖνος ὁ Νικολάου (1859), ὃς διὰ τοῦ αὐτοκρατορικοῦ τῆς παιδείας ρωσσικοῦ ὑπουργείου εἰσηγήσατο, ὅπως τῷ σοφῷ καὶ φιλέλληνι διδασκάλῳ Μιχαὴλ Κούτοργᾳ ὁ τῆς μελέτης ἐκείνων ἐπιτραπῇ πόνος· ἀλλ' ὁ Κούτοργας διά τινας αἰτίας ἠναγκάσθη τῆς ἐντολῆς ἀμελῆσαι. Περὶ δὲ τῆς φροντίδος ταύτης ὁ τοῦ ῥηθέντος διδασκάλου ἀνεψιός, ὁ εὐμενὴς φίλος M. de Koutorga, διήγησίν μοι ἐπέδωκεν, ἥτις ἐν τῷ τρίτῳ τοῦ καταλόγου τόμῳ ἀσμένως καταχωρισθήσεται.

[2] **Александръ Цагарели, Памятники Грузинской старины въ Святой Землѣ и на Синаѣ.** Τεῦχος 10 τῆς συναγωγῆς: **Православный Палестинскій Сборникъ**, ἐν Πετρουπόλει 1888, σ. 143—192. Εἶδε δὲ τὰ τεύχη ὁ συγγραφεὺς ἐν ἔτει 1881.

[3] Ὁ αὐτὸς καὶ πραγματείαν περὶ τῆς παρ' ἐμοῦ τακτοποιηθείσης πατριαρχικῆς ἐν Ἱεροσολύμοις βιβλιοθήκης τύποις ἐξέδοτο, ἣν ἐπέγραψε: The library of the convent of the Holy Sepulchre at Jerusalem. Ὅρα τὸ βιβλίον: Haverford College. Studies published by the faculty of Haverford College № I, 1889. Περὶ τῆς ἐμῆς διατάξεως ἔλεξέ τινα καὶ Schley Schaff, μὴ καλῶς ἀπομνημονεύσας τι τῶν αὐτῷ παρ' ἐμοῦ λεχθέντων. Ὅρα τὸ πονηθὲν αὐτῷ ὑπομνημάτιον: The patriarch of Jerusalem and the Didache, ὃ ἐν τῇ Homiletic Review κατεχώρισε, τόμῳ XVII, april 1889, № 4, σελ. 300—306.

[4] **Н. Красносельцевъ, Славянскія рукописи Патріаршей библіотеки въ Іерусалимѣ.** Ἐν Καζανίῳ 1889.

τῶν ἐπιστολῶν καὶ τῶν βασιλικῶν τε καὶ πατριαρχικῶν γραμμάτων· ταῦτα γὰρ ἐν τοῖς ἀρχείοις τοῦ πατριαρχείου ἀφανῆ φυλάττεται, τῆς παλαιολογίας τε καὶ τῆς ἱστορίας καὶ τῆς τοπολογίας διὰ τοῦτο ἄχρι νῦν οὐδὲν κέρδος ἐντεῦθεν ἐχούσης· ὅσα δ' ἐν Βυζαντίῳ ἐστί, τοῦ λόγου τοῦδε ἡ ἀρχὴ ἐδήλωσεν.

Ὁ μὲν δὴ πατριάρχης Νικόδημος χρόνον βραχὺν δαπανήσας "ψυχῆς ἰατρεῖον" ὡς ἐνῆν ἐν τῇ Χριστοῦ πόλει ἀνήγειρε καὶ τοῖς πρὸς ταύτην παραγιγνομένοις σπουδαίοις προσιτόν τε καὶ θεραπείας πάροχον ἀνέδειξεν· αὐτὸ δὲ τὸ ἰατρεῖον δόμος ἐστὶ μικρὸς ἐν τῇ πατριαρχικῇ πάλαι ἱδρυμένος μονῇ, ἣ οἰκεῖν ὥρισται τοῖς τοῦ Κυριακοῦ Τάφου κληρικοῖς. Ἦσαν δὲ σὺν ἐμοὶ βοηθοὶ ἐκ τῶν ἱεροδιακόνων οἵδε, Ἰουβενάλιος Ἰουστῖνος Γλυκέριος Βενέδικτος καὶ τότε μὲν Κωνσταντῖνος, νῦν δὲ Κάλλιστος, οἳ τῆς ἀπογραφῆς τῶν ἐντύπων βιβλίων ἐμοῦ ἐφισταμένου ἐπεμέλοντο· ἐξ ὧν Ἰουστῖνος τὸν πίνακα τούτων ἐν μικροῖς παρεσκευασμένον χάρταις αὐτοχειρὶ τεχνικῶς προδιαιρεθέντα ὕστερον ἀπεγράψατο. Ἐγὼ μὲν οὖν τῶν κωδίκων μόνων ἐξόχως ἐπεμελούμην, καὶ ἐπεὶ τῷ πλήθει τῆς προκειμένης κατεπλάγην ὕλης, κατάλογον ἐκείνων σὺν σπουδῇ ψιλὸν παρεσκεύαζον· ᾠόμην γὰρ τὴν καθ' ἕκαστον τοσούτων κειμένων ἀναγραφὴν καὶ πλειόνων ἔργον εἶναι καὶ ἀνδρῶν εὐσθενῶν τε καὶ ἐπιστήμῃ, ἧς στέρομαι, προεχόντων. Ἔπειτα μέντοι τὸ τέλος ἰδὼν ὁ πατριάρχης τῇ τεχνικῇ μὲν καταστάσει μάλιστα ἥσθη καί με λόγοις ἐγκωμιαστικοῖς ἐπῄνεσε, τοῦ δ' ἐπιτόμου δοκιμίου οὐδ' ἅψασθαι ἠξίου· ἔλεγε γὰρ ὅτι προσεδόκα κατάλογον τὰς ἐν τοῖς κώδιξιν ἐξαριθμοῦντα συγγραφὰς καὶ τὰς μὲν τύποις γνωστὰς μηνύοντα, τὰς δὲ μὴ σημαίνοντα, ἔτι δ' ὅτι τύποις ἤθελεν ἐκδοθῆναι τὰς ἐμοί τε καὶ ἄλλοις τῶν συγγραφῶν ἀρεσκούσας. "Οὕτω γάρ", προσετίθει, "ὁ θρόνος οὗτος ὁ πατριαρχικὸς παιδευτικὸν μὲν ἔργον τῶν τῆσδε τῆς ἐκκλησίας προστάντων, οἷον Δοσιθέου Χρυσάνθου Ἐφραὶμ καὶ Κυρίλλου β', ἐφ' ἱκανὸν προάξει, τοῖς δ' ὀπαδοῖς τῶν ἑλληνίδων τε καὶ τῶν ἀγγελικῶν Μουσῶν οἷόν τι ἀντίδωρον, ἀνθ' ὧν οἱ χριστιανοὶ πρὸς τὸν Τάφον τῆς Ζωῆς ἀνατιθέασι, τὸν κατάλογον καὶ τὰς συγγραφὰς χαρίσεται".

Ὁ πατριάρχης μὲν οὖν οὕτως ἔλεγε πρὸς τὸ αὐτῷ ποθούμενον ἔργον τολμῆσαί με παραινῶν, καίπερ μέγα τε καὶ ἀχάριστον ὄν· ἐγὼ δ' οὐκ οἶδ' ὅπως τοῖς λόγοις παρασυρεὶς πρὸς τὸν πόνον καρτερῶς ὥρμησα. Καὶ δὴ ἐνιαυτοὺς δύο πονήσας, ὅ τι ὁ πατριάρχης ἤθελεν, ὡς εἶχον δυνάμεως ἐτέλεσα, εἰ καὶ ποικίλαι φροντίδες, λύπης μεσταὶ καὶ δυσθυμίας, τὴν προκοπὴν τοῦ ἔργου ἀνέκοπτον τὰ πολλά. Δοκίμιον γοῦν τοῦ πόνου ὁ ἐν χερσὶ πρόκειται τόμος, ὃς τὴν παλαιὰν συναγωγὴν ὑπὸ τοῦ πατριάρχου ἄλλαις συνηυξημένην βίβλοις ἱκανῶς οἶμαι διεξέρχεται. Οὗτος δ' αὖ τοῦ ὅλου τὴν ἀρχὴν μηνύει, ἥ μοι τῆς συζύγου νόσον μὲν ἐνιαυτὸν μεγάλην νοσούσης τὸν δὲ Χάρωνα ὑπούλως ἐπανερχόμενον ἀγῶνι πολλῷ ἐλαυνούσης, δυσθύμως τετέλεσται· καὶ γὰρ αἱ μὲν ἐν τῷ τόμῳ τῷδε ἀνωμαλίαι οἷαι καὶ ὅσαι εἰσί, ἐν τούτῳ ἀπολογίαν εὑρίσκουσιν· ἐν δὲ τοῖς ἐφεξῆς τόμοις αὐτὰ μὲν τὰ τεύχη ἐκτενεστέρῳ ἀπεικάζεται λόγῳ, τὰ δὲ περὶ αὐτῶν ῥήματα τοὺς ἀναγιγνώσκοντας ὡς οἷόν τε κάλλιον διδάσκοντα σαφέστερα κεῖται.

Τὸ πόνημα τοίνυν, ὁ κατάλογος, καὶ αἱ αὐτοχειρὶ ἐκγραφεῖσαι συγγραφαί, ἐν χρόνῳ τοσούτῳ, ὡς ὁ πατριάρχης παρῄνει, ἐτελέσθησαν καὶ τὴν πρὸς τύπωσιν ἐντολὴν περιέμενον· ἐπεὶ δὲ τὰ μὲν προσήκοντα ἀναλώματα πάνυ πολλὰ ἐξαριθμούμενα εὑρέθη, τὸ δὲ πατριαρχεῖον χρέη ἐπὶ τόκοις, ὡς πρότερον καὶ τότε καὶ νῦν, ὤφειλεν, ἡ μὲν τύποις ἔκδοσις ὡς εἰκὸς ἀνεβάλλετο, ἐμὲ δὲ μὴ σήψει τὰ τετράδια καταλυθείη δεδιότα λύπη κατεῖχεν. Ἀλλ' ὁ πατριάρχης τοῦ πόνου οὐκ ἐπελανθάνετο, οὐδ' ἠμνημόνει τοῦ πόθου, ὃν εἶχεν ἡνίκα τὰ πρακτέα παρεκελεύετο· ἐνιαυτοῦ γὰρ διελθόντος παρακαλέσας ἔλεξέ μοι ἀπροσδοκήτως, ὅτι τὴν ἔκδοσιν τῆς βίβλου ὁ ἐπιφανέστατος ἐφ' ἑαυτὸν ἀνεδέξατο

ΣΕΡΓΙΟΣ ὁ ΑΛΕΞΑΝΔΡΟΥ

ὁ αὐτοκρατορικὸς μέγας δούξ, ὃς καὶ ἃ δεῖ γενέσθαι τούτου γε χάριν εὖ κατὰ τὸν ὀρθόδοξον παλαιστινὸν διέταξε σύλλογον τὸν πάνυ πολλὰς τύποις ἐκδόντα περὶ Παλαιστίνης συγγραφάς, ὧν τινες τῇ ἑλληνίδι καὶ ῥωσσίδι φωνῇ διεδόθησαν. Προσέθηκε δ' ὅτι τὸ ἐμὸν πόνημα εἰς τὸν ἕλληνα μόνον ἐντυπωθήσεται λόγον,

τοῦ συλλόγου ἐκείνου βουλὴν ἐξαίρετον ἐν τούτῳ βουλευσαμένου δι' ὃ σέβας πρὸς τὸ πατριαρχεῖον τόδε ἔχει. Οὕτω δ' ἐγένετο.

Ἐγὼ μὲν οὖν τῷ αὐτοκρατορικῷ παλαιστινῷ συλλόγῳ χάριτας νῦν φανερῶς ὁμολογῶ, παρὰ δὲ τῶν ἐντυγχανόντων τῇ βίβλῳ ἴσως ἄξιός εἰμί ἐφ' οἷς ἡμάρτηκα συγγνώμης τυχεῖν· καὶ γάρ τιν' ἁμαρτήματα τῶν ὀφθαλμῶν τὸ ὀξὺ διαλαθόντα τὸν τόμον ἐρρύπωσεν. Ὅσα μὲν οὖν δηλωτέα μοι εἶναι ἔδοξεν, ἢ πρὸς τῷ τέλει τοῦ καταλόγου ἢ ἐν αὐτῷ τῷ πίνακι ὀνομάτων ἐσήμηνα, ὅσα δὲ ὑπομνήσεως ἄξια οὐκ ἦν σιγῇ ἐκάλυψα, οἷόν ἐστι τὸ "φευρουαρίου", ᾧ ἐν ταῖς πρώταις σελίσι πολλάκις χρῶμαι, τὸ εἰωθὸς μὲν τῷ κώδικι φυλάξας, τῷ δὲ καθόλου σχεδὸν τῶν καλλιγράφων ἔθει ἐν τῷδε στοιχήσας τῷ ὀνόματι [1]. Τὰ δὲ τῶν καλλιγράφων αὖ ἁμαρτήματα, ὅσα ἐν ταῖς ἐπιγραφαῖς καὶ ἐν αὐτοῖς τοῖς ὑπομνήμασι, καθόλου μὲν τὸ κάλλος σῴζων τῆς βίβλου ἢ ἐξήλειφον ἤ, ὡς ἔχρῃζε διορθώσεως, παρεντιθέμενος ἐμήνυον. Ἀεὶ δὲ τῷ κανόνι τούτῳ χρῆσθαι οὐκ ἔδοξέ μοι δίκαιον· δι' ὃ ὑπομνήματα καλλιγράφων, ἢ γραφὴν ἐπιτηδευσάντων καλὴν ἢ ἐπιστήμης μετόχων ἢ παλαιότητι αἰδεσίμων, ὡς ἐν τοῖς κώδιξιν εἶχον, οὕτως κἀν τῇ βίβλῳ ἐσημάνθη.

Ἡ μὲν δὴ γένεσις τοῦ καταλόγου ἥδε, αὐτὴ δ' ἡ βίβλος διττοῖς κεκόσμηται κόσμοις, γραφικοῖς τε καὶ βιβλιολογικοῖς· εἰκόνες μὲν γὰρ παλαιῶν γραμμάτων φωτοτυπικῇ εἰργασμέναι τέχνῃ τοὺς τόμους πάντας καλλύνουσιν, ἵν' οἷς τῶν Ἑλλήνων τὸ εἰς παλαιογράφων ἀσκεῖσθαι ἀνάγνωσιν καλὸν ἔδοξεν, ὁδηγοί τινες μὲν οὗτοι πρόχειροι αὐτοῖς ὦσι, τόλμης δ' αἴτιοι πρὸς ἀνάγνωσιν τῶν ἐν Ἑλλάδι λοιπῶν κωδίκων. Παραπομπαὶ δ' εἰς βίβλους πολλὰς καὶ ποικίλας τὸ σῶμα τοῦ καταλόγου οὐ σμικρὸν ὤγκωσαν· αἱ μὲν γὰρ τὰς προχείρους μοί τινων συγγραφῶν ἐκδόσεις παρασημαί-

[1] Συγγραφεὺς δὲ παλαιὸς τὰ κατὰ Φευρουάριον διηγούμενος λέγει· «καὶ κρατήσας αὖθις τῆς Ῥώμης Μάλιος καὶ λυπηθεὶς διὰ τὴν παράληψιν αὐτῆς ἐν τῷ Σεξτηλίῳ μηνὶ ἐκολόβωσε τὰς ἡμέρας τοῦ μηνὸς ὡς δυστυχοῦς γενομένου τῇ Ῥώμῃ, ἀποχαράξας τὸ ὄνομα αὐτοῦ μηκέτι λέγεσθαι οὕτως . . . τὸν δὲ Σεξτήλιον μῆνα Φευρουάριον ἐκάλεσεν, ὡς ἀξίου ὄντος τοῦ δυστυχοῦς μηνὸς τὸ ὄνομα αὐτοῦ Φευρουάριον καλεῖσθαι». **J. A. Cramer, Anecdota graeca e codd. manuscr. biblioth. Oxoniensium, τ. IV, σ. 227.**

νουσιν, αἱ δ' ἄλλαι χρήσιμά τινα τῇ βίβλῳ ἐπιτόμως μηνύουσιν. Αἱ παραπομπαὶ μὲν οὖν εἴτ' ἐν τῷ οἰκείῳ ἐσημάνθησαν τόπῳ, εἴτ' ἐν τῷ κεφαλαίῳ, ὃ "παροράματα διορθώσεις καὶ συμπληρώσεις" μηνύει. Πασῶν δὲ τῶν ὧδ' ἀναγεγραμμένων συγγραφῶν ἐκδόσεις ἢ ἄλλα περὶ ἐκείνων μαθήματα παρασημᾶναι οὐχ οἷόν τε ἦν· ἕνα μὲν γὰρ πάντα γιγνώσκειν ἀνήκουστον, οὐδέ γε ῥᾴδιον τὸ ἐντυγχάνειν ταῖς χρηστέαις βίβλοις· ὃ δὴ χρόνον μακρὸν ἐπὶ κέρδει σμικρῷ ἀπόλλυσιν. Ὅσα μὲν οὖν ὁ χρόνος διερχόμενος εἰδέναι ἢ πυνθάνεσθαι συνεχώρει, ἐν οἷς ἔδει τόποις ἐσημάνθη, τὰ δὲ λοιπὰ παρὰ τῶν εὐνοίᾳ τὴν βίβλον προσδεξομένων ἀνακοινούσθω μοι, ἵνα κἀκείνοις ἐν τοῖς ἐφεξῆς τόμοις ἀσμένως χρήσωμαι.

Γέγραφα ἐν Πετρουπόλει μηνὶ νοεμβρίῳ ἔτους σωτηριώδους ͵αωϟα΄.

Α. ΠΑΠΑΔΟΠΟΥΛΟΣ - ΚΕΡΑΜΕΥΣ.

ΒΙΒΛΙΑ ΣΥΝΕΧΩΣ ΜΝΗΜΟΝΕΥΟΜΕΝΑ.

Io. Alberti Fabricii, Bibliotheca Graeca. Editio quarta . . . curante Got. Christoph. Harles. Hamburgi, 1790 - 1838, τόμοι 12 καὶ Index.

Patrologiae cursus completus; series graeca, accurante J.-P. Migne. Parisiis, 1857-1866, τόμοι 161 εἰς μέγα 8ον.

Συναξαριστὴς τῶν δώδεκα μηνῶν τοῦ ἐνιαυτοῦ. πάλαι μὲν ἑλληνιστὶ συγγραφεὶς ὑπὸ Μαυρικίου . . . τῷ δὲ 1819 τὸ δεύτερον μεταφρασθεὶς . . . ὑπὸ . . . Νικοδήμου Ἁγιορείτου. νῦν δὲ τρίτον ἐπεξεργασθεὶς ἐκδίδοται ὑπὸ Θ. Νικολαΐδου Φιλαδελφέως. Ἀθήνησι 1868, τόμοι 2 εἰς 4ον.

Архимандритъ Сергій, Полный мѣсяцесловъ Востока. Москва, 1875-1876, τόμοι 2 εἰς 8ον.

Acta Sanctorum. Parisiis 1864-1887, τόμοι 63 εἰς φύλλον, μετὰ τοῦ παραρτήματος.

ΜΕΡΟΣ ΠΡΩΤΟΝ

ΚΑΤΑΛΟΓΟΣ

τῶν ἑλληνικῶν κωδίκων τῆς κυρίως πατριαρχικῆς βιβλιοθήκης.

---

1. Τεῦχος μεμβράνινον εἰς μέγα σχῆμα (ἔχον ὕψος 0, 405 καὶ πλάτος 0, 27), οὗ τὸ κείμενον δίστηλον, κατέχον ἐν ἑκάστῃ σελίδι χῶρον ὕψους 0, 295 καὶ πλάτους 0, 17. Ἐκ τῆς ἀριθμήσεως τῶν τετραδίων ἐξάγεται ὅτι ὁ κῶδιξ περιεῖχε τὸ κατ' ἀρχὰς φύλλα 232, ἀλλὰ τὴν σήμερον σώζονται 209. Τὸ τελευταῖον τετράδιον σημειοῦται τῷ κθ' ἀριθμῷ· ἑκάστου δὲ τετραδίου ὁ ἀριθμὸς γέγραπται διὰ στοιχείων κεφαλαιωδῶν ἐν τῇ ἐπάνω ἄκρᾳ παντὸς πρώτου φύλλου. Τὰ φύλλα 73, 80 καὶ 201 εἰσὶ πρόσθετα, ἀφεθέντα ἄγραφα πρὸς ἀναπλήρωσιν ἐλλείποντος κειμένου· τὸ δὲ 193 φύλ. ἀποτελεῖ στενὴν λωρίδα περιλαμβάνουσαν τὸ τέλος τοῦ ἀπὸ 173 φύλλου ἀρχομένου λόγου. Πρόσθετον ἐπίσης ἐστὶ καὶ τὸ 87^{ον} φύλλον, ὅπερ τυγχάνει βομβύκινον, ἀναπληρωθέν, ὡς ἐκ τῆς γραφῆς εἰκάζεται, κατὰ τὴν ιδ' ἑκατονταετηρίδα. Ὥςτε αἱ ἐν τῷ τεύχει τούτῳ ἐλλείψεις χρονολογοῦνται ἀπὸ αἰώνων. Ὁ γραφικὸς δὲ χαρακτὴρ τοῦ ὅλου τεύχους φαίνεται ἀνήκων εἰς δύο ἀνορθογράφους καλλιγράφους, ἀπὸ κοινοῦ συνεργασθέντας καὶ συνακμάσαντας, ὡς ἔοικεν, ἀρχομένης τῆς δεκάτης ἑκατονταετηρίδος [1]. Ἐν ἀρχῇ τοῦ κώδικος ὑπάρχει τὸ «μηνὶ φευρουαρίω α'» διὰ μεγάλων κεφαλαιωδῶν καὶ κεχρωματι-

σμένων στοιχείων, ἔχον ἄνωθεν κόσμημα ταινιῶδες πεποικιλμένον ἀνθεμίοις. Κοσμήματα δὲ ἁπλᾶ καὶ ἀπέριττα ἐν σχήματι πλατέος Π ἀπαντῶσιν ἐν ἀρχῇ ἑκάστου κειμένου, οὗ καὶ αὖθις ἡ ἐπιγραφὴ διακεχάρακται στοιχείοις κεφαλαιώδεσι καὶ κεχρωματισμένοις. Ἐν τῇ κάτω ὤᾳ τοῦ φύλλου 167α ὑπάρχει ὑπογραφὴ τοῦ ια' αἰῶνος λέγουσα «✝ Κ(ύρι)ε βοήθ(ει) τω σω δουλω Βασιλειῶ (πρω)τ(ο)-σπαθ(α)ρ(ίω) καὶ β(ασιλικῶ) νοτ(α)ρ(ίω) τησ σακέλ(λης) το Αμπαρατὸ ✝». Ἡ αὐτὴ ὑπογραφὴ ὑπάρχει συντομώτερον καὶ ἐν φύλ. 136α. Ἐν δὲ φύλλῳ 104α ἀναγινώσκεται κατὰ τὴν ὤαν δέησις τοῦ ιγ' αἰῶνος ὑπὲρ Ἰωάννου τινός, τοῦ ἀφιερώσαντος πιθανῶς τὸν παρόντα κώδικα εἰς τὴν μονὴν τοῦ ἀββᾶ Γερασίμου, εἰς ἣν καὶ ἀνῆκε τότε, κατὰ τὴν ἐν τῇ ὤᾳ τῆς πρώτης σελίδος σύγχρονον σημείωσιν «βιβλίον τοῦ ἁγίου Γεράσιμου». Ἀλλὰ καὶ ἐν φύλλῳ 37α ἀπαντᾷ ἡ ὑπογραφὴ συγχρόνου τινὸς ἀναγνώστου ὀνόματι Νικολάου.

Ἔστι δὲ τέλος τὸ παρὸν τεῦχος βιβλίον πανηγυρικὸν λεγόμενον τοῦ μηνὸς φευρουαρίου, ἐμπερικλεῖον τὰ ἑπόμενα κατὰ τάξιν κείμενα.

1. Βίος καὶ μαρτύριον τοῦ ἁγίου Τρύφωνος, οὗ ἡ ἀρχή· «Ὁ βίος τοῦ ἁγίου μάρτυρος Τρύφωνος ἀπὸ διετοῦς αὐτοῦ» κτλ. Τοῦ ἀνεκδότου τούτου βίου ἕτερα ἀντίγραφα σημειοῦνται παρὰ Φαβρικίῳ, Biblioth. Graec. X, σελ. 343. Ὅρα καὶ H. Omont, Catologue des MSS grecs de la bibliothèque royale de Bruxelles, σελ. 38, cod. 112. Ὁ δὲ Νικόδημος Ἁγιορείτης σημειοῖ ὅτι ἀπόγραφον τοῦ αὐτοῦ βίου εὕρηται καὶ ἐν τῇ Λαύρᾳ τοῦ Ἄθωνος. Συναξαριστ. τ. Ι, σελ. 433 ἐν ὑποσημειώσει.

2. Μαρτύριον τοῦ ἁγίου Τρύφωνος, οὗ ἡ ἀρχή· «Ἔτους διακοσιοστοῦ ἐννενηκοστοῦ πέμπτου ἀπὸ τῆς βασιλείας Αὐγούστου» κτλ., φύλ. 5β. Μεταγενέστερον ἀπόγραφον τοῦ αὐτοῦ κειμένου σημειοῖ ὁ J. B. Pitra, Codices MSS Palatini, σελ. 183 cod. 317.

3. Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου ὁμιλία εἰς τὴν παναγίαν Θεοτόκον καὶ εἰς τὸν Συμεῶνα καὶ τὴν Ἄνναν, ἧς ἡ ἀρχή· «Πολλοὶ

1. Ὁ δεύτερος γραφικὸς χαρακτὴρ ἄρχεται ἀπὸ τοῦ 144 φύλλου.

τῶν μεγάλων ἀνθρώπων», φύλλ. 11α. Ὅρα τὴν ὁμιλίαν ταύτην παρὰ Migne, Bibl. Gr. τ. 39, σελ. 44.

4. Ἰωάννου Χρυσοστόμου λόγος εἰς τὴν ὑπαπαντὴν τοῦ Σωτῆρος καὶ εἰς τὴν Θεοτόκον καὶ τὸν Συμεῶνα, οὗ ἡ ἀρχή· «Οὐ μόνον φορεῖ σάρκα», φύλ. 15β. Migne, Bibl. Gr. τ. 50, σελ. 807. Πρβλ. Fabric. Bibl. Gr. τ. X, σελ. 240.

5. Τιμοθέου πρεσβυτέρου Ἱεροσολύμων ὁμιλία εἰς τὸν προφήτην Συμεῶνα, ἧς ἡ ἀρχή· «Μόνος ἐν ἀνθρώποις τέλειος», φύλ. 18β. Migne τ. 86, σελ 237. Fabric. X, σελ. 240.

6. Μεθοδίου ἐπισκόπου λόγος εἰς τὴν ἡμέραν τῆς ὑπαπαντῆς τοῦ Σωτῆρος κτλ., οὗ ἡ ἀρχή· «Πάλαι μὲν ἱκανῶς», φύλ. 22α. Ἐν τῷ κώδικι σιωπᾶται τὸ ὄνομα τῆς ἐπισκοπῆς. Ἐξεδόθη δ' ἐπ' ὀνόματι τοῦ ἁγίου Μεθοδίου Πατάρων κατ' ἀπόγραφα μεταγενέστερα. Migne τ. 18, σελ. 348. Κατὰ τὸν ἀρχιεπίσκοπον Τσερνιγόβου Φιλάρετον ἡ ὑφὴ τοῦ λόγου τούτου ἐστὶν ἡ αὐτὴ τῇ τῶν συγγραμμάτων τοῦ ἁγίου Μεθοδίου πατριάρχου Κωνσταντινουπόλεως. Ὅρα Φιλαρέτου ἱστορικὴν διδασκαλίαν περὶ τῶν πατέρων τῆς ἐκκλησίας, ἐξελληνισθεῖσαν ὑπὸ τοῦ ἀρχιμ. Νεοφύτου Παγίδα. Ἐν Ἱεροσολύμοις, 1885—1888, τόμ. I, σελ. 290.

7. Μαρτύριον τοῦ μεγαλομάρτυρος Θεοδώρου, οὗ ἡ ἀρχή· «Μαξιμιανὸς καὶ Μαξιμῖνος οἱ βασιλεῖς», φύλ. 25α. Fabric. X, σελ. 335.

8. Ἀθανασίου Ἀλεξανδρείας «περὶ τῆς ἁγίας εἰκόνος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ (καὶ) τοῦ γεναμένου θαύματος ἐν Βηρυτῷ τῇ πόλει». Ὁ λόγος οὗτος ἀναγινώσκεται, κατὰ τὸν κώδικα, τῇ κυριακῇ τῆς ὀρθοδοξίας· ἄρχεται δὲ ἀπὸ τῶν λέξεων «Ἄρατε τοὺς ὀφθαλμοὺς» κτλ., φύλ. 28α. Migne τ. 28, σελ. 805. Περὶ τοῦ νόθου τούτου λόγου ὅρα καὶ Fabric. X, σελ. 254. Τὸ κείμενον δὲ αὐτοῦ εὗρε καὶ ὁ V. Gardthausen (Catal. cod. graec. Sinaiticorum σελ. 87) ἐν τέλει τοῦ 377 σιναϊτικοῦ κώδικος, ἀλλὰ περίεργον ὅτι ἐπέγραψεν αὐτὸ de imaginem controversia καὶ ὅτι ἐνόμισεν ἔργον τοῦ ἐν ἁγίοις Χρυσοστόμου.

9. «Φωτίου τοῦ ἁγιωτάτου ἐπισκόπου Κωνσταντινουπόλεως ὁμιλία λεχθεῖσα ἐν τῷ ἄμβωνι τῆς Μεγάλης Ἐκκλησίας», ἧς ἡ

ἀρχή· «Τῆς προλαβούσης ὁμιλίας τέλος», φύλ. 30α. Ἐξεδόθη ὑπὸ τοῦ πολυμαθεστάτου καὶ εὐγενεστάτου Σ. Ἀριστάρχου ἐν τῇ Ἐκκλησιαστικῇ Ἀληθείᾳ, τόμ. Γ', 1883, σελ. 786 - 792. Ἀλλὰ διά τινα δυσνόητα χωρία τῆς ἐκδόσεως ταύτης ἀντέβαλον τὸ κείμενον πρὸς τὸ ἱεροσολυμικὸν ἀπόγραφον καὶ τὰς συλλεχθείσας διαφόρους ἀναγνώσεις ἀπεταμίευσα ἐν τέλει τοῦ Α' τόμου τῆς Ἱεροσολυμικῆς Σταχυολογίας μου [1].

10. «Τῇ κυριακῇ τῆς ὀρθοδοξίας. Ἐπιστολὴ Ἰωάννου Ἱεροσολυμίτου πρὸς τὸν βασιλέα Κωνσταντῖνον τὸν παραβάτην», ἧς ἡ ἀρχή· «Πιστεύω εἰς ἕνα Θεόν», φυλλ. 36α. Συνεξεδόθη τοῖς συγγράμμασι τοῦ ἁγίου Ἰωάννου Δαμασκηνοῦ. Migne τ. 95, σελ. 309.

11. Μαρτύριον τῆς ἁγίας Περπετούας καὶ τῶν σὺν αὐτῇ τελειωθέντων ἐν Ἀφρικῇ τῇ πρὸ τεσσάρων νόννων φευρουαρίων. Ἀρχ. «Ἐπὶ Οὐαλεριανοῦ καὶ Γαλι(ή)νου διωγμὸς ἐγένετο», φύλ. 41α. Ἑλληνικὸν κείμενον τοῦ μαρτυρίου τούτου οὐ σημειοῦται ἐν Fabric Bibl. graec. X, σ. 309. Τῇ σήμερον ἡ ἡμετέρα καθολικὴ ἐκκλησια τελεῖ τὴν μνήμην τῆς ἁγίας Περπετούας και τῶν σὺν αὐτῇ μαρτυρησάντων τῇ α' φευρουρίου, κατὰ τὸν κώδικα ὅμως ἐτελεῖτο τὸ πάλαι τῇ γ' ἡμέρᾳ τοῦ αὐτοῦ μηνός. Ἡ εἴδησις αὕτη βεβαιοῦται καὶ ἐξ ἑτέρου κώδικος. Ἄλλα δὲ πάλιν χειρόγραφα βεβαιοῦσιν ὅτι ἐν ἄλλοις χρόνοις ἡ μνήμη τῆς ἁγίας Περπετούας ἑωρτάζετο τῇ β' τοῦ αὐτοῦ μηνός. Ὅρα ἀρχιμ. Σεργίου Полный мѣсяцесловъ востока, τόμ. II, σελ. 28, 29, 30.

12. Μαρτύριον τῆς ἁγίας Ἀγάθης, οὗ ἡ ἀρχή· «Βασιλεύοντος Δεκίου καίσαρος», φύλ. 47β. Migne τ. 114, σελ. 1332. Κατὰ τὸν κώδικα ἡ μνήμη αὐτῆς ἐτελεῖτο τῇ δ' φευρουαρίου. Πρβλ. Σεργίου Полный мѣсяцесловъ востока, τ. II, σ. 31.

1. Ὁ ἐξοχ. Σ. Ἀριστάρχης πιθανολογεῖ ὅτι ἡ εἰρημένη τοῦ ἁγίου Φωτίου ὁμιλία ἐδιδάχθη ἡμέρᾳ παρασκευῇ τῆς α' ἑβδομάδος τῶν νηστειῶν, περὶ τὸ ἔτος 861. Ἀλλ' ἐπειδὴ κατὰ τὸν Ἱεροσολυμικὸν ἀρχαιότατον κώδικα ἡ ὁμιλία αὕτη τέτακται ἀναγινώσκεσθαι τῇ κυριακῇ τῆς ὀρθοδοξίας, πιθανώτατον φαίνεται ὅτι ἐδιδάχθη τὸ πρῶτον ὑπὸ τοῦ συγγραφέως ἐν τοιαύτῃ χαρμοσύνῳ ἑορτῇ καὶ ὅτι ἡ ἐκκλησία ἐν μεταγενεστέροις χρόνοις παραλαβοῦσα καὶ σώζουσα ἔθος ἐκ παραδόσεως κραταιωθὲν ὥρισεν ἵνα ἀναγινώσκηται ἐν κυριακῇ τῆς ὀρθοδοξίας.

13. Μαρτύριον τοῦ ἁγίου Ἀβραμίου ἐπισκόπου, μαρτυρήσαντος ἐν Ἀρβὴλ τῇ πόλει (ε' φευρ.). Ἀρχ. «Ἐν τῷ πέμπτῳ ἔτει τοῦ καθ' ἡμᾶς διωγμοῦ», φύλ. 52α. Παρὰ Φαβρικίῳ (Χ. σ. 187) ἐλλείπει τὸ κείμενον τοῦτο. Περὶ τῆς μνήμης τοῦ ἁγίου τῇ ε' φευρ. ὅρα Σεργίου Полный мѣсяцесловъ востока, τ. II, σ. 31.

14. Μαρτύριον τοῦ ἁγίου Ἰουλιανοῦ τοῦ ἐν Ἐμέσῃ (ϛ' φευρ.), οὗ ἡ ἀρχή· «Ὁ ἅγιος μάρτυς Ἰουλιανός», φ. 52β.

15. Μαρτύριον τῆς ἁγίας Φαύστας καὶ τῶν σὺν αὐτῇ τελειωθέντων Εὐηλασίου καὶ Μαξίμου. Ἀρχ. «Ἡ ἁγία μάρτυς Φαῦστα», φύλ. 54α. Κατὰ τὸν κώδικα ἡ μνήμη αὐτῆς τελεῖται, ὡς καὶ σήμερον, τῇ ϛ' φευρουαρίου.

16. Βίος καὶ πολιτεία τοῦ ὁσίου Παρθενίου ἐπισκόπου Λαμψάκου (ζ' φευρ.), οὗ ἡ ἀρχή· «Πόθῳ καὶ ἀγάπῃ κινούμενος ἐγὼ ὁ ἁμαρτωλὸς Κρισπῖνος», φύλ. 56α. Migne τ. 114, σελ. 1348.

17. Μαρτύριον τῶν ἁγίων Μάρθας καὶ Μαρίας ἀδελφῶν, καὶ Λυκαρίωνος μονάζοντος (η' φευρ.). Ἀρχ. «Βασιλεύοντος Δεκίου τοῦ ἀνομωτάτου», φύλ. 62α.

18. Μαρτύριον τοῦ ἁγίου Νικηφόρου τοῦ ἐν Ἀντιοχείᾳ Θεουπόλει (θ' φευρ.). Ἀρχ. «Ἦν τις πρεσβύτερος ὀνόματι Σαπρίκιος», φύλ. 64α. Migne τ. 114, σελ. 1368.

19. Γρηγορίου Νύσσης ἐπιτάφιος εἰς Μελέτιον ἐπίσκοπον Ἀντιοχείας, οὗ ἡ ἀρχή· «Ηὔξησεν ἡμῖν τὸν ἀριθμόν». φύλ. 66β. Migne τ. 46, σελ. 852. Κατὰ τὸν κώδικα ἡ μνήμη τοῦ ἁγίου Μελετίου ἐτελεῖτο τῇ ι' φευρουαρίου.

20. Μαρτύριον τοῦ ἁγίου Χαραλάμπους (ι' φευρ.), οὗ ἡ ἀρχή· «Κατὰ τοὺς καιροὺς ἐκείνους», φυλ. 71β. Ἐλλείπει μέρος. Τὸ κείμενον τοῦτο οὐ σημειοῦται παρὰ Φαβρικίῳ Χ, σελ. 209.

21. Μαρτύριον τοῦ ἁγίου Βλασίου (ια' φευρ), οὗ ἡ ἀρχή· «Ἡνίκα ὁ καιρὸς τῶν εἰδώλων», φύλ. 79α. Ἐλλείπει μέρος. Migne τ. 116, σελ. 817.

22. Βίος τῆς ἁγίας Μαρίας τῆς ἐπονομασθείσης Μαρίνου (ιβ' φευρ.), οὗ ἡ ἀρχή· «Αὕτη ἡ ὁσία ἔσχεν πατέρα», φύλ. 83β.

23. Βίος καὶ πολιτεία τοῦ ὁσίου Μαρτινιανοῦ μοναχοῦ (ιγ' φευρ.),

οὗ ἡ ἀρχή· «Ἔγγιστα τῆς πόλεως Καισαρείας», φύλ. 84β. Fabric. X, σελ. 288.

24. Βίος καὶ πολιτεία τοῦ ὁσίου Αὐξεντίου (ιδ' φευρ.), οὗ ἡ ἀρχή· «Τῶν ἀρχαιοτέρων πατέρων ἔργοις», φύλ. 94α. Fabric. X, σελ. 202. Migne τ. 114, σελ. 1377.

25. Μαρτύριον τοῦ ἁγίου Ὀνησίμου μαθητοῦ τοῦ ἀποστόλου Παύλου (ιε' φευρ.), οὗ ἡ ἀρχή· «Χαίρει καὶ γένος», φύλ. 106β. Fabric. X, σελ. 300.

26. Μαρτύριον τῶν ἁγίων Παμφίλου, Οὐάλεντος, Παύλου, Σελεύκου, Πορφυρίου, Θεοδούλου, Ἰουλιανοῦ Αἰγυπτίων (ις' φευρ.), Ἀρχ. «Καιρὸς δὴ καλεῖ», φύλ. 110β. Fabric. X, σελ. 303.

27. «Διήγησις τῶν ἐν Μαρτυροπόλει ἁγίων καὶ τοῦ ἁγίου Μαρουθᾶ τοῦ ἀνεγείραντος τὴν πόλιν ἐπ' ὀνόματι τῶν μαρτύρων» (ιζ' φευρ.). Ἀρχ. «Κλίμα χώρας ἐστὶν Σοφανίνων λεγόμενον», φύλ. 115α. Ἡ μνήμη τοῦ ἁγίου Μαρουθᾶ τελεῖται νῦν τῇ 16 φευρ.

28. Βίος καὶ πολιτεία τοῦ ἁγίου Ἀρχιβίου ἀρχιεπισκόπου καὶ θαυματουργοῦ (ιη' φευρ.), οὗ ἡ ἀρχή· «Βούλομαι διηγήσασθαι», φύλ. 116β. Ἐν ἄλλῳ κώδικι, ἐν ᾧ ὑπάρχει τὸ αὐτὸ κείμενον, ὁ ἅγιος Ἀρχίβιος ὀνομάζεται Αὐξίβιος (P. Lambecii Comment. de aug. biblioth. caes. Vindob. τ VIII, 1679, σελ. 87)· οὕτω δὲ φέρεται τὸ ὄνομα αὐτοῦ καὶ ἐν τοῖς μηναίοις. αράφρασις ἄλλου κειμένου περὶ τοῦ βίου αὐτοῦ εὕρηται παρὰ Μακαρίῳ Νοταρᾷ (Νέον Λειμωνάριον, ἐκδ. Ν. Ρουσοπούλου, ἐν Ἀθήναις, 1873, σελ. 35—43). Ἑορτάζεται δὲ σήμερον τῇ ιζ' φευρουαρίου.

29. Μαρτύριον τοῦ ἁγίου Σαθὼδ ἐπισκόπου καὶ τῶν μετ' αὐτοῦ ρκη' μαρτυρησάντων ἐν τῷ δευτέρῳ ἔτει τοῦ διωγμοῦ (κα' φευρ.). Ἀρχ. «Μετὰ τὸ τελειωθῆναι», φ. 123β. Fabr. X, σελ. 320. Ἐν τῷ παρὰ Λαμπεκίῳ ἀντιγράφῳ (ἔνθ. ἀνωτ. σελ. 87) ὁ μάρτυς οὗτος ὀνομάζεται Σαδώθ, παρὰ Νικοδήμῳ δὲ Σαδώκ. Συναξαρισ. τ. I, σελ. 469. Ἡ ἐκκλησία ἡμῶν ἑορτάζει αὐτὸν τὴν σήμερον τῇ κ' φευρουαρίου.

30. «Χρυσίππου πρεσβυτέρου Ἱεροσολύμων ἐγκώμιον εἰς τὸν ἅγιον μεγαλομάρτυρα Θεόδωρον, ἔτι δὲ καὶ τῶν αὐτοῦ θαυμάτων

μερικὴ διήγησις» (κβ' φευρ.). Ἀρχ. «Μάρτυρος ἐν τοῖς μάρτυσιν λάμποντος», φύλ. 125β. Fabric. X, σελ. 334.

31. «Μαρτύριον τοῦ ἁγίου Πολυκάρπου, ἐπισκόπου γεναμένου ἐν Σμύρνῃ τῆς Ἀσίας, τῇ πρὸ ἑπτὰ καλανδῶν» (κγ' φευρ.). Ἀρχ. «Ἡ ἐκκλησία τοῦ Θεοῦ ἡ παροικοῦσα Σμύρναν», φύλ. 136α. Migne τ. 5, σελ. 1029. Ἕτερον καλὸν ἀπόγραφον τῆς ἐγκυκλίου ταύτης ἐπιστολῆς τῆς ἐν Σμύρνῃ ἐκκλησίας εὗρον ἐν κώδικι Κοσινίτζης ιβ' αἰῶνος. Ἡ ἐπιγραφὴ δὲ ἐν αὐτῷ ἔχει ὧδε· «ἐξήγησις τοῦ μαρτυρίου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Πολυκάρπου Σμύρνης». Ὅρα Ἑλλην. Φιλολογ. Συλλόγ. παράρτημα ἀρχαιολογικὸν ΙΖ' τόμου, ἐν Κωνσταντινουπόλει 1886, σελ. 41.

32. «Ἐξήγησις παραδόσεως, ὅπως ἡ κεφαλὴ τοῦ προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου εἰς τὴν Ἐμεσηνῶν ἀπεδείχθη πόλιν» (κδ' φευρ.). Ἀρχ. «Μοναχοὶ δύο ἐκ τῆς ἑῴας», φύλ. 140β. Ἐλλείπει τὸ τέλος. Fabric. X, σελ. 260.

33. Βίος τοῦ ἁγίου Πορφυρίου ἐπισκόπου Γάζης (κς' φευρ.) ὑπὸ Μάρκου διακόνου, οὗ ἡ ἀρχή· «Τῶν ἁγίων ἀνδρῶν τοὺς ἄθλους», φύλ. 144α. Ἐκ κώδικος βιενναίου ἐξεδόθη ὑπὸ M. Haupt τῷ 1875 ὑπὸ τὴν ἐπιγραφὴν Marci Diaconi vita Porphyrii Gazensis, edita ex codice vindobonensi ms. hist. graec. 111. Berolini (ex comment. reg. accad. berolin. 1874).

34. Ἱππολύτου ἐπισκόπου Ῥώμης περὶ Χριστοῦ καὶ Ἀντιχρίστου. Ἀρχ. «Βουληθέντι σοι κατὰ ἀκρίβειαν», φ. 173α. Migne τ. 10, σ. 725.

35. Μαρτύριον τοῦ ἁγίου Νέστορος ἐπισκόπου Πέργης τῆς Παμφυλίας (κη' φευρ.), οὗ ἡ ἀρχή· «Ἐν ταῖς ἡμέραις Δεκίου τοῦ βασιλέως ἦν διωγμός», φύλ. 194α. Οὔτε ὁ ἅγιος οὔτε βίος αὐτοῦ οἱοσδήτις σημειοῦται παρὰ Φαβρικίῳ· ἀλλὰ καὶ ὁ ἁγιορείτης Νικόδημος ἀγνοεῖ τὸν κατὰ πλάτος βίον τοῦ ἱερομάρτυρος Νέστορος.

36. Ἰωάννου Χρυσοστόμου λόγος εἰς τὸν ἄσωτον, οὗ ἡ ἀρχή· «Ἀεὶ μὲν τὴν τοῦ Θεοῦ», φύλ. 195β. Ελλείπει μ.ρο-
Migne τ. 60, σελ. 723.

37. Ἀναστασίου Σιναΐτου ὁμιλία εἰς τὸν ς' ψαλμόν, ἧς ἡ ἀρχή· «Πρέπουσαν τὴν τῶν νηστειῶν», φύλ. 202β. Τὸ κείμενον ἀτελές, λῆγον νῦν εἰς τὰς λέξεις «παλαιουμένων καὶ γηρούντων· ἐὰν ὅλως». Migne τ. 89, σελ. 1077.

2. Τεῦχος μεμβράνινον μεγάλου σχήματος (ὕψους 0, 39, πλ. 0,275) περιλαμβάνον φύλλα 401, κατὰ δὲ τὸ ὕφος τῆς γραφῆς, τῆς τε μικρᾶς καὶ κεφαλαιώδους, φαίνεται χρονολογούμενον ἀπὸ τοῦ τέλους περίπου τῆς Θ' ἑκατονταετηρίδος, πλὴν τῶν φύλλων 27, 56, 58 καὶ 132, ἅτινά εἰσι τοῦ ιγ' αἰῶνος, προστεθέντα τότε εἰς ἀναπλήρωσιν ἰσαρίθμων φύλλων προαπολεσθέντων. Ἡ γραφὴ δέ ἐστι μεγάλη, παχεῖα καὶ ὑπόξανθος. Δεῖγμα αὐτῆς φωτογραφικὸν ὅρα ἐν τῷ ἔμπροσθεν πίνακι, τὴν δὲ ἀπογραφὴν τοῦ ἐν αὐτῷ κειμένου ἰδὲ ἐν τέλει τῆς περιγραφῆς τοῦ παρόντος κώδικος, περὶ οὗ προστίθημι καὶ ταῦτα· ὅτι ἡ ἀρχὴ καὶ τὸ τέλος αὐτοῦ ἐλλείπουσιν, ὅτι ἕκαστον τῶν ἐν αὐτῷ βιβλίων χωρίζεται ὑπὸ ἁπλουστάτης καὶ λεπτῆς ταινίας ἀχρωματίστου, ὅτι ἀχρωμάτιστοί εἰσι καὶ αἱ ἐπιγραφαὶ αὐτῶν αἱ διὰ κεφαλαιωδῶν στοιχείων παριστάμεναι, καὶ ὅτι ἐν ὤαις τισὶν σημειοῦνται ὑπὸ τοῦ καλλιγράφου διάφοροι τοῦ κειμένου ἀναγνώσεις κατὰ Ἀκύλαν, Σύμμαχον καὶ Θεοδοτίωνα. Ἐν φύλλῳ δὲ 242α ὑπάρχει σχόλιον Γενναδίου εἰς χωρίον τοῦ προφήτου Ἀμβακούμ, καὶ ἐν τῷ 401β σημείωσις τοῦ ιδ' αἰῶνος, μαρτυροῦσα τάδε κατὰ λέξιν. «† ετουτο βιβλιων εναι τοῦ ἁγίου τάφου καὶ ἤτης τὸ εβρί νά το δόση μεσα ἧσ τον ἅγιον τάφον ηνα μη θέλει ἐχει το κρῖμα του».

Περιεχόμενα.

1. Γένεσις ἀκέφαλος, ἀρχομένη ἀπὸ τῶν λέξεων «τὴν φωνή(ν) σου ἤκουσα περιπατοῦντος» κτλ. Γενέσεως γ', 10 μέχρι τέλους.
2. Ἔξοδος, φ. 45α.
3. Λευϊτικόν, φ. 75α.
4. Δευτερονόμιον, φ. 141α.
5. Ἰησοῦς, φ. 173α.
6. Κριταί, φ. 196α.

7. Ρούθ, φ. 219α.
8. Ὠσηέ, φ. 222α.
9. Ἰωήλ, φ. 227β.
10. Ἀμώς, φ. 230α.
11. Ἀβδιού, φ. 235α.
12. Ἰωνᾶς, φ. 235β.
13. Μιχαίας, φ. 237α.
14. Ναούμ, φ. 240β.
15. Ἀμβακούμ, φ. 242α.
16. Σοφονίας, φ. 244α.
17. Ἀγγαῖος, φ. 246α.
18. Ζαχαρίας, φ. 247β.
19. Μαλαχίας, φ. 254β.
20. Ἡσαΐας, φ. 256β.
21. Προφητεία Ἱερεμίου, φ. 295β.
22. Βαρούχ, φ. 342β.
23. Θρῆνοι, φ. 346α.
24. Προσευχὴ Ἱερεμίου, φ. 349α.
25. Ἀντίγραφον ἐπιστολῆς Ἱερεμίου, φ. 349β.
26. Ἰεζεκιήλ, φ. 351β.
27. Ὁράσεις Δανιήλ, φ. 390α, ἀπὸ τῆς α' ὁράσεως μέχρι τῶν λέξεων «ἐξεκλίναμεν ἀπὸ τῶν ἐντολῶν σου καὶ ἀπὸ τῶν» (τῆς θ' ὁράσεως ἐδαφ. 5).

Σημείωσις. Τὸ κείμενον, ὡς ἐν τῷ πίνακι τῷ φωτοτυπικῷ θεᾶται, ἐστὶ μονόστηλον, ἔχον ἐν ἑκάστῃ σελίδι γραμμὰς 39 ἢ 40· καταλαμβάνει δὲ χῶρον ὕψ. 0,301 καὶ πλ. 0,18.—Τὸ ἐν τῇ ὤᾳ τοῦ φύλ. 242β μνησθὲν σχόλιον Γενναδίου ἀναφέρεται εἰς τὸ α' κεφ. τοῦ Ἀμβακούμ, 12 ἐδάφ., καὶ ἔχει ὧδε· «Τὸ ἔπλασέν με ἐλέγχειν παιδείαν αὐτοῦ ἔφη, τουτέστιν ἐκ μήτρας καὶ ἄνωθεν, ἐπὶ τούτῳ οὔπω με κατεσκεύασεν, ὥστε πλημ(μ)ελοῦντα ἐλέγχειν τὸν Ἰ(σρα)ήλ». Ὁ σχολιαστὴς δὲ οὗτος φαίνεταί μοι ὢν ὁ ἐκκλησιαστικὸς πατὴρ Γεννάδιος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, ὃς ἐτελεύτησε τῷ 471 ἔτει, καταλιπὼν σὺν ἄλλοις ἑρμη-

νείας εἰς τὴν θείαν Γραφήν, ὧν τεμάχια δυστυχῶς περιεσώθησαν ἄχρις ἡμῶν.

Χάριν δὲ τῶν ἀσχολουμένων περὶ τὴν ἀνάγνωσιν χειρογράφων παλαιῶν παρατίθεται ὧδε ἡ ἀπογραφὴ τοῦ ἐν τῷ φωτοτυπικῷ πίνακι κειμένου, ὅπερ παρίστησι τὴν πρώτην σελίδα τοῦ 15 φύλλου τοῦ κώδικος ἐνέχουσαν τὸ ἑπόμενον μέρος τοῦ κδ' κεφαλ. τῆς Γενέσεως, ἀπὸ 8—21 ἐδαφίου.

Πε(ρὶ) τοῦ γάμου Ἰσαὰκ καὶ Ρεβέκκας

8 αὐτοῦ ἔμπροσθέν σου· καὶ λήψη γυναῖκα τῷ υἱῷ μου ἐ-
κεῖθεν· ἐὰν δὲ μὴ θέλη ἡ γυνὴ πορευθῆναι μετὰ σοῦ εἰσ τὴν
γῆν ταύτην· καθαρὸσ ἔση ἀπὸ τοῦ ὅρκου τούτου· μόνον
τὸν υ(ἱό)ν μου μὴ ἀποστρέψησ ἐκεῖ· 9 καὶ ἔθηκεν ὁ παῖσ τὴν
χεῖρα αὐτοῦ ὑπὸ τὸν μηρὸν ἀβραὰμ τοῦ κυρίου αὐ-
τοῦ καὶ ὤμοσεν αὐτῷ περὶ τοῦ ῥήματοσ τούτου· 10 καὶ
ἔλαβεν ὁ παῖσ δέκα καμήλουσ ἀπὸ τῶν καμήλων
τοῦ κυρίου αὐτοῦ καὶ ἀπὸ πάντων τῶν ἀγαθῶν τοῦ
κυρίου αὐτοῦ μεθ' ἑαυτοῦ· καὶ ἀναστὰσ ἐπορεύθη
εἰσ τὴν μεσοποταμίαν εἰσ τὴν πόλιν ναχώρ· 11 καὶ ἐκοί-
μισε τὰσ καμήλουσ ἔξω τῆσ πόλεωσ παρὰ τῷ φρέαρ
τοῦ ὕδατοσ τὸ προσ οψὲ ἡνίκα ἐκπορεύονται αἱ
ὑδρευόμεναι· 12 καὶ εἶπεν· κ(ύρι)ε ὁ θ(εὸ)σ τοῦ κυρίου μου ἀ-
βραάμ· εὐόδωσον ἐναντίον μου σήμερον· καὶ ποίησον
ἔλεοσ μετα τοῦ κυρίου μου ἀβραάμ· 13 ἰδοὺ ἐγὼ ἕστηκα
ἐπὶ τῆσ πηγῆσ τοῦ ὕδατοσ· αἱ δὲ θυγατέρεσ τῶν οἰκούν-
των τὴν πόλιν ἐκπορεύονται ἀντλῆσαι ὕδωρ· 14 καὶ
ἔσται ἡ παρθένος ᾗ ἂν ἐγὼ εἴπω ἐπίκλινον τὴν ὑ-
δρίαν σου ἵνα πίω· καὶ εἴπη μοι πίε καὶ τὰσ καμή-
λουσ σου ποτιῶ ἕως ἂν παύσωνται πίνουσαι·
ταύτην ἡτοίμασας τῷ παιδί σου ἰσαάκ· καὶ ἐν τού-
τω γνώσομαι ὅτι ἐποίησασ ἔλεοσ τῷ κυρίω μου
ἀβραάμ· 15 καὶ ἐγένετο πρὸ τοῦ συντελέσαι αὐτὸν
λαλοῦντα ἐν τῆ διανοία αὐτοῦ· καὶ ἰδοὺ ῥεβέκκα
ἐξεπορεύετο ἡ τεχθεῖσα βαθουὴλ υἱῷ μελχάσ
τῆσ γυναικὸσ ναχὼρ ἀδελφοῦ δὲ ἀβραὰμ ἔχουσα
τὴν ὑδρίαν ἐπὶ τῶν ὤμων αὐτῆσ· 16 ἡ δὲ παρθένοσ
ἦν καλὴ τῆ ὄψει σφόδρα· παρθένοσ ἦν ἀνὴρ οὐ-
κ' ἔγνω αὐτήν· καταβᾶσα δὲ ἐπι τὴν πηγὴν ἔπλη-

Σελὶς 10.

Κῶδιξ πατρ. 2, ἐνάτου αἰῶνος, φ. 15α. Γενέσεως κεφ. κδ', 8—21.

σε τὴν ὑδρίαν καὶ ἀνέβη· [17] ἐπέδραμεν δὲ ὁ παῖσ
εἰσ συνάντησιν αὐτῆσ καὶ εἶπεν· πότισόν με μικρὸν
ὕδωρ ἐκ τῆσ ὑδρίας σου· [18] εἰ δὲ εἶπεν· πίε κύριε· καὶ
ἔσπευσε καὶ καθεῖλε τὴν ὑδρίαν ἐπι τὸν βραχίονα
αὐτῆσ· καὶ ἐπότισεν αὐτὸν, ἕωσ ἐπαύσατο πίνων·
[19] καὶ εἶπεν· καὶ ταῖσ καμήλοισ σου ὑδρεύσομαι ἕωσ
ἂν πᾶσαι πίωσιν· [20] καὶ ἔσπευσεν καὶ ἐξεκένωσε
τὴν ὑδρίαν εἰσ τὸ ποτήριον· καὶ ἔδραμεν ἔτι ἐπι τὸ
φρέαρ ἀντλῆσαι· καὶ ὑδρεύσατο πάσαισ ταῖσ κα-
μήλοισ· [21] ὁ δὲ αν(θρωπ)οσ κατεμάνθανεν αὐτὴν· καὶ παρε-
σιώπα τοῦ γνῶναι εἰ εὐώδοκε κ(ύριο)σ τὴν ὁδὸν αὐτοῦ, ἢ οὔ.

Εἰς τὸ τεμάχιον τοῦτο παρατηροῦνται τὰ ἑξῆς· α΄) τὸ ἐφελκυστικὸν ν ἀπαντᾷ καὶ πρὸ συμφώνου, παρελείφθη δὲ μόνον ἐν τῇ λέξει «ἐξεκένωσε» τοῦ 20 ἐδαφίου. β΄) ὑπάρχουσι δύο ἀνορθογραφίαι ἐν ἐδαφ. 18 καὶ 21, αἵτινες πάντως ἐγένοντο ἐκ παραδρομῆς, διότι ὁ κῶδιξ ἐστὶν ὀρθότατος πανταχοῦ. γ΄) ὑπάρχουσι διάφοροι ἀναγνώσεις· ἐν γ΄ ἐδαφ. ἀντὶ «ὅρκου μου» ἀναγινώσκεται «ὅρκου τούτου» κατὰ τὸ σιναϊτικὸν καὶ ἀλεξανδρινὸν ἀπόγραφον· ἐν ἐδ. 12 ἀντὶ «ἐναντίον ἐμοῦ» ἐγράφη «ἐναντίον μου»· ἐν ἐδ. 14 ἀντὶ «πίε σὺ» ὑπάρχει ἁπλῶς «πίε», ὡς καὶ ἐν τῷ σιναϊτικῷ. Ἐν τῷ αὐτῷ ἐδαφίῳ ἀντὶ «μετὰ τοῦ κυρίου μου» ἀναγινώσκεται, ὡς καὶ ἐν τῷ σιναϊτικῷ, «τῶ κυρίω μου»· παραλείπεται δὲ κατὰ τὸ αὐτὸ ἀπόγραφον καὶ τὸ ἄρθρον «τῷ», τὸ ἐν τῇ κοινῇ ἐκδόσει ἀπαντῶν πρὸ τοῦ ὀνόματος Ἰσαάκ· ἐν ἐδαφ. 16 ἀντὶ «ὑδρίαν αὐτῆς» ὑπάρχει ἁπλῶς «ὑδρίαν»· ἐν ἐδαφ. 20 ἀντὶ «ποτιστήριον» ἀναγινώσκεται «ποτήριον», καὶ ἀντὶ «ἔδραμεν ἐπὶ τὸ φρέαρ ἀντλῆσαι πάλιν» ἔχομεν «ἔδραμεν ἔτι ἐπὶ τὸ φρέαρ ἀντλῆσαι».

Τοῦ λόγου ὄντος περὶ διαφόρων γραφῶν, παρατίθημι νῦν κατ' ἐκλογὴν καὶ τὴν ἀντιβολὴν τοῦ κειμένου ἑνὸς τῶν προφητῶν, τοῦ Μαλαχίου.

ΜΑΛΑΧΙΑΣ.

Κείμ. ἐκδ. Tisch.	Κείμ. κώδικ. Ἱεροσολυμ.
I, 4 ἀνοικοδομήσωμεν τὰς ἐρήμους... οἰκοδομήσουσι, καὶ ἐγὼ καταστρέψω.	ἀνοικοδ. τὰς ἐρήμους αὐτῆς (in marg. τὰς ἐρημωμένας)... οἰκοδομήσουσιν καγὼ καταστρέψω.

I, 6 τὸν κύριον ἑαυτοῦ.	τὸν κύριον αὐτοῦ φοβηθήσεται.
I, 7 προσάγοντες... κυρίου ἠλιγισμένη ἐστί.	προσαγαγόντες... κυρίου ἐξουδενωμένη ἔστιν.
I, 8 προσάγαγε δὴ αὐτῷ τῷ ἡγουμ. σου εἰ προσδέξεταί σε, εἰ λήψ. πρόσωπόν σου.	προσάγαγε δὲ αὐτῶ τῶ ἡγουμ. σου, εἰ προσδέξεται αὐτὸ· εἰ λήψ. πρὸ προσώπου σου.
I, 9 καὶ νῦν ἐξιλάσκεσθε τὸ πρόσωπον τοῦ θεοῦ ὑμῶν καὶ δεήθητε αὐτοῦ· ἐν χερσὶν ὑμῶν γέγονε ταῦτα· εἰ λήψομαι κτλ	καὶ δεήθητε αὐτοῦ ἵνα ἐλεήσῃ ὑμᾶς ἐν χερσὶν ὑμῶν γέγονεν ταῦτα· εἰ λήψομαι κτλ.
I, 10 ἀνάψετε	ἀνάψατε
I, 11 προσάγετε	προσαγάγετε τῶ
I, 13 καὶ ἐὰν φέρ. τὴν θυσίαν	καὶ προσεφέρετε αὐτὰ θυσίαν
I, 14 ἐν τῷ ποιμνίῳ... θύει διεφθαρμένον	ἐν ποιμνίω... θύει τὰ διεφθαρμένα
II, 3 ἔνυστρον ἐπὶ τὰ πρόσωπα κτλ.	(Οὕτω καὶ ἐν τῷ ἱεροσολ. κώδικι. In marg. Ἀκύλας: ἰδοὺ ἐγὼ ἐπιτιμῶ ὑμῖν σὺν τῶ βραχίονι καὶ λικμήσω κόπρον ἐπὶ πρόσωπον ὑμῶν κόπρον ἑορτῶν ὑμῶν)
II, 4 διότι ἐγὼ	ὅτι ἐγὼ
II, 5 στέλλεσθαι	στέλλεσθε
II, 6 ἐν τῷ στόματι.. ἀπὸ ἀδικίας.	ἐν στόματι... ἐξ ἀδικίας.
II, 7 διότι ἄγγελος	ὅτι ἄγγελος
II, 8 ἠσθενήσατε	(In marg. Ἀκ(ύλας). Σύμμαχος: ἐσκανδαλίσατε).
II, 9 ἀπερριμμένους	παρειμένους
II, 10 ἐγκατελίπετε	ἐγκατελίπατε. In marg. Σύμμαχος: ἐδυσωπεῖσθε.
II, 15—16 καὶ ὑπόλειμμα πνεύματος αὐτοῦ. καὶ εἴπ. τί ἄλλο ἢ σπέρμα... καὶ φυλάξασθε... ἐγ-	καὶ ὑπόλιμμα πνεύματός σου. καὶ εἴπ. τί ἄλλο ἀλλ' ἢ σπέρμα... καὶ φυλάσσεσθε.... ἐγκαταλείπῃς....

καταλίπης· ἀλλὰ ἐὰν μισήσας ἐξαποστείλης... καὶ καλύψει... ἐνθυμήματά σου... φυλάξασθε... οὐ μὴ ἐγκαταλίπητε.	ἀλλ᾽ ἐὰν μισήσῃς ἐξαπόστειλον... καλύψει... ἐνθυμήματα ὑμῶν... φυλάξεσθε... οὐ μὴ ἐγκαταλείπητε τὴν συνθήκην.
II, 17 καὶ ἐν αὐτοῖς αὐτὸς	καὶ ἐν αὐτοῖς καὶ αὐτὸς
III, 1 καὶ ὁ ἄγγελος	καὶ ἄγγελος
III, 2 ὑπομενεῖ... ὡς ποία	ὑπομένει...ὡς πόα
III, 3 καθαρίσει... καὶ τὸ ἀργύριον	καθαριεῖ...καὶ ὡς τὸ ἀργύριον
III, 4 καθὼς τὰ ἔτη	καθὼς ἔτη
III, 5 καὶ προσάξω... φαρμακοὺς	καὶ προσελεύσομαι...φαρμάκους
III, 7 ἀπὸ τῶν ἀδικιῶν	ἀπὸ τῶν ἁμαρτιῶν
III, 8 μή τι πτερνιεῖ	εἰ πτερνισει
III, 9 ἀποβλέπετε καὶ ἐμὲ	ἀποβλέπετε εἰς αὐτά· καὶ ἐμὲ
III, 10 ἐκφόρια... καὶ ἔσται ἡ διαρπαγὴ αὐτοῦ ἐν τῷ οἴκῳ αὐτοῦ. ἐπιστρέψατε δὴ	ἐκφορεῖα... καὶ ἡ ἁρπαγὴ τοῦ πτωχοῦ εἰς τοὺς οἴκους ὑμῶν. ἐπιστρέψατε δὴ (in marg Ἀκύλας: πεινάσατε)
III, 15 καὶ ἀντέστησαν	ἀντέστησαν
III, 17 αἱρετιῶ... αἱρετίζει... τὸν δουλεύοντα αὐτῷ.	ἐρετιῶ... ἐρετιεῖ... τὸν εὖ δουλεύοντα αὐτόν.
IV, 1 ἔρχεται	ἔρχεται κυρίου
IV, 4—6 καὶ ἰδοὺ ἐγὼ ἀποστελῶ ὑμῖν Ἠλίαν τὸν Θεσβίτην πρὶν ἐλθεῖν τὴν ἡμέραν κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ, [5] ὃς ἀποκαταστήσει καρδίαν πατρὸς πρὸς υἱὸν καὶ καρδίαν ἀνθρώπου πρὸς τὸν πλησίον αὐτοῦ. μὴ ἔλθω καὶ πατάξω τὴν γῆν ἄρδην. [6] μνήσθητι νόμου Μωσῆ τοῦ δούλου μου, καθότου ἐνετειλάμην	[4] μνήσθητι νόμου Μωσῆ τοῦ δούλου σου, καθότι ἐνετειλάμην αὐτῷ ἐν Χωρὴβ πρὸς πάντα τὸν Ἰσραὴλ προστάγματα καὶ δικαιώματα. [5] καὶ ἰδοὺ ἐγὼ ἀποστελῶν ὑμῖν Ἠλίαν τὸν Θεσβίτην πρὶν ἐλθεῖν τὴν ἡμέραν κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ, [6] ὃς ἀποκαταστήσει καρδίαν πατρὸς πρὸς υἱὸν καὶ καρδίαν ἀνθρώπου

αὐτῷ ἐν Χωρὴβ πρὸς πάντα τὸν Ἰσραὴλ προστάγματα καὶ δικαιώματα. πρὸς τὸν πλησίον αὐτοῦ, μὴ ἐλθὼν πατάξω τὴν γῆν ἄρδην.

subscriptio

Μαλαχίας ὁ καὶ Ἄγγελος

Σημειωτέον ἔτι περὶ τοῦ κώδικος τούτου, ὅτι τὰ ἀναπληρωτικὰ φύλλα 27 καὶ 56 εἰσὶ μικροτέρου σχήματος (ὕψ. 0,345, πλ. 0, 26) καὶ ἐκ διφθέρας λεπτῆς, καὶ ὅτι ἀμφότερά εἰσι παλίμψηστα, ὧν ἡ ἀρχικὴ γραφὴ ἀνήκει εἰς τὸν Ε' αἰῶνα, παρεμφερὴς οὖσα τῇ τοῦ σιναϊτικοῦ λεγομένου κώδικος. Τὸ παλαιὸν δὲ αὐτῶν κείμενόν ἐστι δίστηλον καὶ ἐν φυλ. 56α διακρίνεται ἡ ἐπιγραφὴ **ΣΟΦΙΑ ΙΗΣΟΥ ΥΙΟΥ ΣΙΡΑΧ**, ὡς πράγματι καὶ αἱ διακρινόμεναι λέξεις καὶ φράσεις μαρτυροῦσιν.

3. Τεῦχος μεμβράνινον (ὕψους 0, 375, πλ. 0, 27) τῆς ΙΒ'—ΙΓ' ἑκατονταετηρίδος, ἐκ φύλλων 170 παχείας διφθέρας, καὶ οὗ τὸ κείμενον μονόστηλον, ἔχον ἐν ἑκάστῃ σελίδι γραμμὰς 36 καὶ καταλαμβάνον χῶρον ὕψους 0, 285 καὶ πλ. 0,185. Ἐμπεριέχει δὲ σειρὰν ὑπομνηματιστῶν εἰς ἅπασαν τὴν Γένεσιν, ὧν τὰ τεμάχια ἀνέρχονται εἰς 681 κατὰ τὴν ἀρίθμησιν τοῦ καλλιγράφου. Τοῦ κειμένου προτάσσεται ἐρυθροῦν κόσμημα τετραγώνου παραλληλεπιπέδου σχήματος, ἐγκλεῖον τὴν ἐπιγραφὴν «Συγγραφὴ τοῦ πρ(ο)φ(ή)του Μωϋσέως». Ὑπομνηματισταὶ δέ εἰσιν οἱ ἑπόμενοι.

Ἀκάκιος Καισαρείας.
Ἀκύλας.
Ἀπολλινάριος.
Βασίλειος (Καισαρείας).
Γρηγόριος Νύσσης.
Δίδυμος.
Διόδωρος.
Γεννάδιος (Κωνσταντινουπόλεως).
Εὐσέβιος.
Εὐστάθιος Ἀντιοχείας.
Ἐφραὶμ (Σύρος).

Θεοδώρητος (Κύρρου).
Θεόδωρος (Ἡρακλείας).
Ἱππόλυτος Ῥώμης.
Ἰωάννης Χρυσόστομος.
Ἰσίδωρος (Πηλουσιώτης).
Κύριλλος (Ἀλεξανδρείας).
Μελίτων.
Ὁ Ἀγκύρας (?).
Σευηριανὸς Γαβάλων.
Σεραπίων ἐπίσκοπος Θμούσεως.
Σούκενσος Διοκαισαρείας.
Σύμμαχος.
Φίλων ἐπίσκοπος (Καρπαθίου).
Φίλων ὁ Ἑβραῖος.
Ὠριγένης.

4. Τεῦχος μεμβράνινον (ὕψ. 0, 375, πλ. 0, 265) τῆς ΙΑ′ ἑκατονταετηρίδος, ἐκ φύλλων 298, ὧν τινων τὰ ἄκρα ἐλλείπουσιν. Τὸ κείμενον δίστηλον ἐκ γραμμῶν 33, ἤτοι ὕψ. 0, 265, πλ. 0, 18. Ἐν ἀρχῇ δὲ ὑπάρχει ἐρυθροῦν κόσμημα ἐν σχήματι Π, φέρον ἐντὸς τὴν ἐπιγραφὴν τοῦ βιβλίου.

Ἰωάννου Χρυσοστόμου ὑπόμνημα εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον, ἀπὸ τῆς 56—90 ὁμιλίας. Ἑκάστη τῶν ὁμιλιῶν διαχωρίζεται ὑπὸ ἐρυθροῦ ταινιώδους κοσμήματος· ἐρυθρῷ δὲ χρώματι γέγραπται καὶ τὸ ἑρμηνευόμενον εὐαγγελικὸν κείμενον.

Ἐν τῇ ὤᾳ τοῦ φύλ. 147α ἀναγινώσκεται ὑπογραφὴ Παρθενίου τινὸς ἀρχιερέως, γραφεῖσα ἐν μονοκονδυλίᾳ κατὰ τὸν ιϛ′ αἰῶνα. Ἑτέρα ὑπογραφὴ τοῦ ιβ′ αἰῶνος ἐν φύλ. 86α λέγει ταῦτα· «εὔχου ὁ ἀναγινώσκων Λεόντιον (μον)αχ(ὸν) καὶ πρε(σβύτερον?) τον Κομητέα».

5. Τεῦχος μεμβράνινον (ὕψ. 0, 37, πλ. 0, 265) τῆς ΙΓ′ ἑκατονταετηρίδος, περιέχον συλλογὴν ἑρμηνειῶν εἰς τὸν μακάριον Ἰώβ, καὶ ἀξιόλογον διὰ τὸ πλῆθος τῶν ἐν αὐτῷ εἰκόνων (miniatures) διαφόρου μεγέθους καὶ σχήματος, ἐξ ὧν ὅμως ὀλίγαι δυστυχῶς περιεσώθησαν

ἀνεπηρέαστοι, τῶν πλειόνων φθαρεισῶν ἢ καὶ διὰ χειρὸς ἀνθρωπίνης καταστραφεισῶν· συμποσοῦνται δὲ εἰς 117 καὶ ἅπασαι ἐμφαίνουσιν ὑπὸ πολλὰς ἐπόψεις τὸν βίον τοῦ μακαρίου Ἰώβ. Τὸ δὲ κείμενον, ἐκ 33 σειρῶν ἐν ἑκάστῃ σελίδι, ἄρχεται ἀπὸ τοῦ 3 φύλλου, διῆκον μέχρι τέλους ἀνελλιπῶς καὶ λῆγον εἰς τὸ 259 φύλλον· χῶρον δὲ καταλαμβάνει ἐν ἑκάστῃ σελίδι 0,44 × 0,155. Τὰ δὲ προτεταγμένα δύο φύλλα πρόσθετα ὄντα τυγχάνουσι λείψανον ἑτέρου κώδικος, ὅπερ περιλαμβάνει μέρος τοῦ τρίτου περὶ ἱερωσύνης λόγου τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου [1].

Ἐν ἀρχῇ λοιπὸν τοῦ κυρίως κώδικος (φ. 3) ὑπάρχει ὡραῖον καὶ πεποικιλμένον πλατὺ κόσμημα ἐν σχήματι πλατέος Π, ὑποκάτωθεν ἔχον χρυσοῖς κεφαλαίοις γράμμασι τὴν ἐπιγραφὴν «Τῶν κατὰ κεφάλαιον ἐξηγήσεων εἰς τὸν δίκαιον Ἰώβ, ἀπὸ φωνῆς Ὀλυμπιοδώρου διακόνου καὶ ἑτέρων», ὧν ἡ ἀρχή· «Πολλὰ τοῖς παλαιοτέροις ἔδοξε» κτλ. Migne, Patrol. Gr. τ. 93, σελ. 13—468.

Τὸ τελευταῖον φύλλον, ὅπερ ἀριθμεῖται 260ον, ἀφέθη ὑπὸ τοῦ καλλιγράφου ἄγραφον· ἀλλ' ἐπὶ τῆς πρώτης αὐτοῦ σελίδος ὁ ἀείμνηστος Ἱεροσολύμων πατριάρχης Δοσίθεος ἔγραψεν (ἐν ἔτει 1674) ἰδιοχείρως ταῦτα· «† Ἡ παροῦσα βίβλος ἦν μὲν τῆς ἐπάνω τοῦ Μελενίκου κειμένης μονῆς τῆς Ροζινῆς, εὕρομεν δ' αὐτὴν ἐρριμ(μ)ένην ἀτίμως ἔνδον τῆς μητροπόλεως Μελενίκου, διατοῦτο ἐλάβομεν αὐτὴν τοῦ εἶναι ἐν Κυρίῳ κτῆμα αἰώνιον τοῦ ἁγίου καὶ ζωοδόχου Τάφου· οὐ γὰρ δίκαιον ἐκρίναμεν τοιοῦτον χρησιμώτατον χρῆμα κεῖσθαι παρὰ τυφλοῖς καὶ ἀγραμμάτοις ἀνθρώποις. Δώῃ δὲ ὁ Κύριος ἀεὶ εἶναι κατὰ καιροὺς τὸν ἀναγινώσκοντα, ἐπικατάρατος δ' ὁ ταύτην ἀφαιρέσων τῶν δεσποτικῶν προσκυνημάτων.— Ἐλήφθη ἀχοδ' ἰουνίου κ' ἐν Μελενίκῳ ἐπὶ βασιλέως Δημητρίου Μοσχοβίας, καὶ τῷ κε' ἔτει τῆς βασιλείας σουλτὰν Μωχάμετ ἤμπην Ὀμεταλὴμ καὶ πατριάρχου Παϊσίου Ἀλεξανδρείας, ὃν ἡμεῖς προε-

1. Ὕψος τῶν φύλλων τούτων 0,36, πλάτ. 0,255. Το ἐν αὐτοῖς κείμενον δίστηλον ἐκ 32 γραμμῶν (ἤτοι 0,27 × 0,195), ἀρχόμενον ἀπὸ τῶν λέξεων «τοῖς κατηγόροις· τῶν τὰ μέγιστα ἂν εἴην ἠδικηκότων ἀνδρῶν». Ὁ κῶδιξ ἐξ οὗ τὰ φύλλα ταῦτα ἐλήφθησαν ἦν τοῦ Ι' ἢ ΙΑ' αἰῶνος.

βιβάσαμεν, καὶ Γερασίμου Κωνσταντινουπόλεως, καὶ Πιτυροῦν Μοσχοβίας, καὶ Σερβίας Μαξίμου. — † Ὁ Ἱεροσολύμων πατριάρχης Δοσίθεος, ὁ ἐκ Πελοποννήσου».

Καθόσον δ' ἀφορᾷ εἰς εἰκόνας σημειῶ τὰ ἑπόμενα. Πολλαὶ ἐξ αὐτῶν εἰσιν ἐπαναλήψεις πρὸς κόσμησιν τοῦ βιβλίου, ὡς λόγου χάριν αἱ πολλάκις ἐπαναλαμβανόμεναι ἐν τῷ τεύχει παραστάσεις τοῦ ἐπὶ κοπρίας καθημένου Ἰὼβ καὶ τοῦ οὐρανοῦ μετὰ προτομῆς τῆς ἀϊδίου θεότητος. Τὸ σχεδίασμα δέ ἐστι πολλαχοῦ ἀκανόνιστον, ἀλλὰ τὰς ἀτελείας τοῦ καλλιτέχνου διασκεδάζει πολλάκις ὁ χρωματισμός, ὅστις τυγχάνει ἐλευθέριος, ἀποκλίνων μᾶλλον εἰς ἀναλελυμένα ἢ εἰς βαθείας κατασκευῆς χρώματα, ἐν οἷς ἰδίᾳ ἐξέχει τὸ κυανοῦν, δι' οὗ ὁ τεχνίτης ἐπεζήτει ἀπομιμηθῆναι τὴν οὐράνιον φύσιν. Πρὸς μικρὰν δὲ ἐκτίμησιν τῆς καλλιτεχνικῆς τοῦ τεύχους ἀξίας περιορίζομαι εἰς τὴν ἀπομνημόνευσιν τῶν ἑπομένων παραστάσεων [1]. Ἐν φύλ. 7β εἰκονίζεται οἴκημα καὶ ὁ μακάριος Ἰὼβ ἐστεμμένος, καθήμενος ἐπὶ σκίμποδος καὶ συνδιαλεγόμενος τῇ ἀπέναντι αὐτοῦ καθημένῃ συζύγῳ. Ἐν φύλ. 9β παρίσταται ἡ οἰκογένεια αὐτῶν, ἤτοι αὐτὸς οὗτος ὁ Ἰὼβ καὶ ἡ σύζυγος ἐστεμμένας ἔχοντες τὰς κεφαλὰς καὶ ἑκατέρωθεν περιστοιχιζομένους ὑπὸ τῶν ἑπτὰ υἱῶν καὶ τῶν τριῶν θυγατέρων. Ἐν φ. 10β εὕρηται πίναξ τεχραχῇ διῃρημένος, ἐν ᾧ παρίστανται τὰ ἀγαθὰ τοῦ οἴκου Ἰώβ, ἤτοι πρόβατα, κάμηλοι, βόες καὶ ὄνοι. Ἐν φ. 11β ἐξεικονίζονται οἱ υἱοὶ τοῦ Ἰὼβ ἐν ᾗ περιπτώσει συμπαρέλαβον τὰς ἀδελφὰς καὶ μετέβησαν εἰς τὸν οἶκον πρὸς διασκέδασιν. Ἐν φ. 12α παρίσταται ὁ Ἰὼβ ἱστάμενος ὑπ' οὐρανὸν ἐκτὸς τῆς οἰκίας καὶ προσφέρων ὁλοκαυτώματα· πρὸς τοῦτο δὲ εἰκονίζονται ἐν τῷ πίνακι ναός τε καὶ βωμοὶ φέροντες πυρὰς καὶ θύματα. Ἐν φ. 14α βλέπομεν οὐρανόν, ἐξ οὗ προβάλλει ἡ χεὶρ τοῦ Θεοῦ, καὶ

[1] Τὸ ἱεροσολυμικὸν ἀπόγραφον οὐκ ἔστι μοναδικόν. Ὅρα τὴν περιγραφὴν τοῦ ἐν Παρισίοις σωζομένου ἀντιτύπου, ἣν ἐφιλοτέχνησεν ὁ H. Bordier, Description des peintures et autres ornements contenus dans les manuscrits grecs de la bibliothèque nationale. Paris, 1883, σελ. 223—225.

2. «Ἐκλογαὶ περὶ τῆς στενῆς καὶ τεθλιμμένης ὁδοῦ· ἡ ἀπάγουσα εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Ἀρχ. «Εἶπεν ὁ ἀββᾶς Ἀντώνιος ὅτι αὔτη ἐστὶν ἡ μεγάλη ἐργασία», φ. 2 κέ. Ἐν τέλει· «1781 ἰουλίου 23 διὰ χειρὸς κἀμοῦ Ἰωαννικίου ἱερομονάχου ὡς καὶ Σαββαΐτου».

3. Βασιλείου Καισαρείας «περὶ τοῦ τέλειον δεῖ εἶναι τὸν μοναχόν». Ἀρχ. «Δύο τάγματα» κτλ.

171. Τεῦχος χαρτῷον (0,259×0,185) τῆς ΙΔ' ἑκατ.

1. Ἀκέφαλος λόγος περὶ ᾅδου. Ἀρχ. «ἀφύκτων καὶ ἀφορήτων ποινῶν», φ. 1.

2. «Ἀσκητικὰ τοῦ ὁσίου πατρὸς ἡμῶν Φιλοθέου μοναχοῦ μονῆς τῆς ὑπεραγίας Θεοτόκου τῆς Βάτου». Ἀρχ. «Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν», φ. 4β. Migne τ. 98, τ. 1369, τεμάχιον.

3. Ἀναστασίου Σιναΐτου «περὶ τῶν ἁγίων τριῶν τεσσαρακοστῶν πόθεν παρελάβομεν αὐτὰς καὶ ὅτι οἱ ταύτας παραβαίνοντες παρανομοῦσιν». Ἀρχ. «Ἔδει μὲν ἡμᾶς ἐξακολουθοῦντας», φ. 36. Migne τ. 89, σ. 1389.

4. Νικολάου Α' Κ/πόλεως «πρὸς τὸν πρῶτον τοῦ ἁγίου Ὄρους παραγγελίαι κατὰ τὰς ἐντολὰς καὶ περὶ τῶν ἑορτῶν καὶ τῶν τεσσαρακοστῶν». Ἀρχ. «Πολλάκις μὲ ἐβίασας», φ. 41. J. Pitra, Spicileg. Solesmense τ. IV, σ. 489.

5. «Συλλογὴ συντεθεῖσα ἐκ τῶν θεοφθόγγων ῥημάτων τῶν ἁγίων πατέρων πάνυ ὠφέλιμος». Ἀρχ. «Ἀγάπη ἡ πρὸς Θεὸν περιγίνεται», φ. 48β. Τεμάχια Διαδόχου, Μαξίμου, Βασιλείου, Χρυσοστόμου, Θαλασσίου, Συμεών, Ἰωάννου τῆς Κλίμακος, Μακαρίου Αἰγυπτίου, Κασσιανοῦ, Νείλου ἀσκητοῦ, Μάρκου ἀσκητοῦ, Βαρσα-

νουφίου, Θεοδώρου, Ἐφραίμ, Γρηγορίου Νύσσης, Ἀθανασίου Ἀλεξανδρείας, Ἀναστασίου Σιναΐτου, Ἀντιόχου, Ἰσαὰκ Σύρου, Ἠλία ἐκδίκου καὶ Ἡσυχίου.

6. Ἀθανασίου Ἀλεξανδρείας περὶ ἀναγκαίων ζητημάτων κατ' ἐρωταπόκρισιν. Ἀρχ. «Πιστεύσαντες καὶ βαπτισθέντες», φ. 128β.

172. Τεῦχος χαρτῷον (0,26 × 0,185), γραφὲν περὶ τὸ τέλος τῆς ΙΖ' ἑκατονταετηρίδος, συγκείμενον ἐκ φύλλων 55 καὶ περικαλλὲς ὑπό τε γραφικὴν καὶ κοσμηματικὴν ἔποψιν. Τὰ φύλλα 19—21α, 45 καὶ 46 ἀφέθησαν ἄγραφα. Ἐν φ. 1β εἰκὼν παριστῶσα τὸν θεῖον Χρυσόστομον καθήμενον ἐπὶ θρόνου· παρομοία εἰκὼν τοῦ μεγάλου Βασιλείου ἐν φ. 21β. Κοσμήματα καὶ κεφαλαιώδη στοιχειώδη λίαν μεγάλα καὶ πεποικιλμένα μετὰ προσώπων, ζῴων, καὶ ἀνθέων. Ἐν φ. 14 τὸ στοιχεῖον Τ ἐντὸς τετραγώνου κοσμήματος, φέρον περιειλιγμένον τὸ ὄνομα τοῦ καλλιγράφου "μνήσθητι Κύριε Ἀβερκίου ἱερομονάχου". Ἐπιγραφαὶ χρυσογραφεῖς. Κείμενον μονόστηλον καὶ ἐκ γραμμῶν 22 καθ' ἑκάστην σελίδα (0,172 × 0,11). Ἐν τῇ πρώτῃ σελίδι «εἰς τὴν θείαν ἱερὰν καὶ προσκυνητὴν μυσταγωγίαν τοῦ πανιερωτάτου (οὖσαν κτῆμα ἀναφαίρετον) καὶ λογιωτάτου μητροπολίτου προσκυνητοῦ δεσπότου ἁγίου Σερρῶν κυρίου κυρίου Στεφάνου ἐπίγραμμα ἰαμβικὸν» τόδε.

Καυχῶνται πόλεις μυρίοις τοῖς ἐγγόνοις
αὐχῶνται Σέρραι εἰς Στέφανον καὶ μόνον·
εἷς γάρ, καθ' Ἡράκλειτον, εἰσὶ μυρίοι [1].

Περιέχει δὲ τὰς θείας λειτουργίας τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου καὶ Βασιλείου τοῦ μεγάλου καὶ τάξεις χειροτονιῶν ἀναγνώστου καὶ ψάλτου, ὑποδιακόνου, διακόνου καὶ πρεσβυτέρου.

173. Τεῦχος χαρτῷον (0,256 × 0,188) γραφὲν ἐν ἔτει 1624 καὶ ἀποτελούμενον ἐν φύλλων 96. Κείμενον μονόστηλον ἐκ γραμμῶν 15 καθ' ἑκάστην σελίδα (0,17 × 0,115). Ἐν ἀρχῇ εἰκὼν

[1] Τοῦ ἀρχιερέως Στεφάνου σῴζονται ἐπιστολαὶ πρὸς Χρύσανθον Ἱεροσολύμων ἀπὸ ἔτους 1716 μέχρι 1717 καὶ Ἀναστασίου Γορδίου πρὸς ἐκεῖνον ἀπὸ ἔτους 1715 μέχρι 1722, περὶ ὧν ὅρα Κ. Σάθα μεσαιων. βιβλιοθ. τ. III, σ. 532 καὶ 539.

τοῦ θείου Χρυσοστόμου ἐν στολῇ ἀρχιερατικῇ καὶ ἱσταμένου μεταξὺ μονῆς καὶ πόλεως. Ἕτεραι δύο τῶν ἁγίων Βασιλείου καὶ Γρηγορίου τοῦ Διαλόγου ἐν φ. 35β καὶ 71β. Τὰ φύλλα 5 καὶ 31—35α ἀφέθησαν ἄγραφα· τὰ φύλλα 88—96 ἐγράφησαν μηνὶ ἰουλίῳ 1644 «διὰ χειρὸς Ἰωακεὶμ ἱερομονάχου Ζανάκαιως τοῦ Κυπρίου». Ἐν φ. 87α σημείωσις τοῦ πρώτου καλλιγράφου ἡ ἑξῆς, ἧς παραλείπονται αἱ ἀνορθογραφίαι· «Ἐτελειώθη τὸ παρὸν κατὰ τὸ ,αχκδ' ἔτος διὰ χειρὸς ἐμοῦ Φιλοθέου ἱερομονάχου ἁγιοταφίτου ἐν μηνὶ μαΐῳ ιε' ἡμέρᾳ ζ', διὰ δὲ φιλίας χάριν ἐπεδόθη τῷ ὁσιωτάτῳ ἐν ἱερομονάχοις καὶ πνευματικοῖς κῦρ Ἰωακεὶμ εἰς μνημόσυνον ἐμοῦ καὶ τῶν γονέων. Εὔχου δὲ τὸν γράψαντα, τίμιε πάτερ». Ἑτέρα σημείωσις ἐν τῇ ὤᾳ τοῦ φ. 29β λέγει· «τὴν παροῦσαν θείαν καὶ ἱερὰν λειτουργίαν ἐπροσήλωσα κἀγὼ Ἰωακεὶμ ἱερομόναχος ὁ Κύπριος εἰς τὸν πανιερώτατον μητροπολίτην Δρύστρας κῦρ Ἱερεμίαν, διὰ ψυχικὴν σωτηρίαν ἐμοῦ καὶ τῶν γονέων μου».

Περιεχόμενα· α') λειτουργίας τοῦ ἁγίου Ἰωάννου Χρυσοστόμου μέρος σλαυϊκόν, φ. 1—4. β') λειτουργία ἑλληνιστὶ τοῦ αὐτοῦ, φ. 6—30. γ') λειτουργία τοῦ μεγάλου Βασιλείου, φ. 36—69. δ') λειτουργία προηγιασμένων. ε') τάξεις χειροτονιῶν ἀναγνώστου καὶ ψάλτου, ὑποδιακόνου, διακόνου καὶ πρεσβυτέρου.

174. Τεῦχος χαρτῷον (0,247 × 0,19) τῆς ΙΗ' ἑκατ. ἐκ φύλλων 109. Κείμενον μονόστηλον καὶ ἐκ 14 ἢ 15 στίχων καθ' ἑκάστην σελίδα (0,16 × 0,8). Ἐν ἀρχῇ σημείωμα ἀνορθόγραφον λέγον· «αὕτη ἡ βίβλος, ἤτοι ὁ νομοκάνων, ἐσυντάχθη καὶ ἐγράφθη παρ' ἐμοῦ Ῥάσκας Γερασίμου ἀρχιερέως Βυζαντίου τοῦ καὶ Τράμπα τὸ γένος, καὶ ἰδίᾳ βουλῇ καὶ γνώμῃ ἡ ἐμὴ ταπεινότης ἐχαρίσατο τῷ πανοσιωτάτῳ καὶ ἐν πνευματικοῖς πατράσι κῦρ Μελετίῳ τῷ Ζωναρᾷ, καὶ ὅστις ἤθελεν» κτλ.

«Νομοκάνων ἐκ τῶν ἁγίων ἑπτὰ συνόδων», ἢ μᾶλλον ἐξομολογητάριον. Ἀρχ. «Ὁ πνευματικὸς πατὴρ πρέπει νὰ εἶναι ἱερομόναχος» κτλ.—Φύλ. 47 περὶ ἐξομολογήσεως ἀρχιερέως.—Φύλ. 56 ἐξομολόγησις κοσμικῶν ἱερέων.—Φύλλ. 69 «ἐξομολόγησις τῶν ἰδιω-

τῶν».—Φύλ. 83 «ἑρμηνεία Ἰωάννου τοῦ νηστευτοῦ: ὅσοι ἐξαγορεύονται ἐκ προαιρέσεως πῶς νὰ κανονίζωνται». Ἀρχ. «Ἐὰν ἐξομολογηθῇ ὁ ἄνθρωπος» κτλ.—Φύλλ. 88β «περὶ τῶν ἀρνησαμένων τὸν Χριστὸν θεληματικῶς ἢ μὲ βάσανα, διάταξις Μεθοδίου πατριάρχου». Ἀρχ. «Εἰ μὲν ἦτον ἐκεῖνος παιδίον ὁποῦ τὸ ἐπῆραν» κτλ. Τοῦ ἀρχαίου κειμένου τεμάχιον παρὰ Pitra, Juris eccles. τ. II, σ. 362—363.

175. Τεῦχος χαρτῷον (0,26 × 0,195) τῆς ιϛ′ ἑκατ. ἐκ φύλλων 266. Καθ' ἑκάστην σελίδα 27 στίχοι (0,205 × 0,125). Κατὰ τὸν παρελθόντα αἰῶνα ἦν κτῆμα Κυριακοῦ Ἐφεσίου τοῦ εἶτα Κυρίλλου ἱερέως· ὅρα φύλλ. 11. Ἐν ἀρχῇ ἐλλείπουσιν ἐνέα φύλλα, κατὰ τὴν σωζομένην ἀρίθμησιν. Ἀπὸ φ. 10—11 συνέχεια πίνακος μετὰ ἐπιλόγου τῶν ἱερῶν παραλλήλων τοῦ Δαμασκηνοῦ.

Ἰωάννου Δαμασκηνοῦ ἱερὰ παράλληλα (φ. 11β—226), ὧν ἡ διάταξις μικρὸν διαφέρει τῆς ἐκδόσεως Lequien (τ. II, σ. 297—727).

176. Τεῦχος χαρτῷον (0,25 × 0,185) ἐκ σελίδων 357 χονδροῦ καὶ στιλπνοῦ τουρκικοῦ χάρτου. Κείμενον μονόστηλον (0,165 × 0,12). Ἐπιγραφαὶ κόκκιναι. Αἱ σελίδες 19, 20, 54—56, 155—158, 213, 214, 224—232, 314 καὶ 324—330 ἀφέθησαν ἄγραφοι.

Προκοπίου Ναζιανζηνοῦ τοῦ Ἀράμπογλου, μοναχοῦ ἁγιοταφίτου, ἱστορία τοῦ παναγίου Τάφου διῃρημένη εἰς πέντε τμήματα, ὧν τὸ πρῶτον περιέχει «τὸν κατάλογον τῶν ἐν Ἱεροσολύμοις πατριαρχευσάντων ἀπὸ Ἰακώβου τοῦ ἀδελφοθέου μέχρι τοῦ ἤδη εὐκλεῶς πατριαρχεύοντος κυρίου Πολυκάρπου» ἀποβιώσαντος τῇ 3 Ἰανουαρίου 1827 [1], σελ. 3—17.—«Ἱστορίας τοῦ παναγίου Τάφου τμῆμα β′ περιέχον τὰ καθ' ἡμῶν ἐπισυμβάντα παρὰ τῶν Φράγκων περὶ τῶν παναγίων προσκυνημάτων καὶ τόπων», σελ. 21—53.—«Τμῆμα γ′ τὰ περὶ τῶν Ἀρμενίων», σελ. 57—154.—«Τμῆμα δ′ περιέχον τὰς μεταφράσεις τῶν ἀνακαινισθέντων ὁρισμῶν τῶν κατὰ διαφόρους καιροὺς ἐκδοθέντων ἡμῖν περὶ τῶν ἐν

[1] Κατόπιν προσετέθησαν οἱ μέχρι τοῦ μακαριωτάτου Νικοδήμου Α′ πατριαρχήσαντες.

Ἱεροσολύμοις προσκυνημάτων παρὰ τῶν ὀθωμανῶν σουλτάνων», σελ. 159—330.—«Τμῆμα ε', παράρτημα τῶν ἐν ἐσχάτοις ἐπισυμβάντων» ἀπὸ πατριάρχου Πολυκάρπου μέχρις ἔτους 1828 (σελ. 331—357) συγγραφὲν ὑπὸ τοῦ μοναχοῦ Ἀνθίμου τοῦ ἐξ Ἀγχιάλου, ὃς καὶ πρὸς τὸ τέλος τοῦ προλόγου γράφει· «καὶ ἔστιν ἐν ἑνὶ λόγῳ ἡ βίβλος σύντομος ἅμα καὶ περίεργος ἱστορία καὶ ἅμα τῶν ἁγιοταφιτῶν μικρὰ ἀπολογία, ἣν ἤρξατο μὲν ὁ κυρὸς Προκόπιος Ναζιανζηνός, διὰ δὲ τὸν ἐπισυμβάντα αὐτῷ πρόωρον θάνατον ἐπέθηκα ἐγὼ καὶ τὴν ἐσχάτην χεῖρα προσεπιδιορθώσας, ἅτε αὐτοπαθὴς καὶ αὐτόπτης γενόμενος. Μέμνησθε οὖν κἀμοῦ οἱ ἐντυγχάνοντες, μέμνησθε δὲ καὶ τῶν φιλοτίμων καὶ φιλοχρίστων ἐκδοτῶν, ὧν ἡ μνήμη εἴη ἀθάνατος». Τὸ χρήσιμον τοῦτο πόνημα παρέμεινεν ἀνέκδοτον, διὸ καταχωρισθήσεται ὁλόκληρον ἐν τοῖς ἀναλέκτοις τῆς ἱεροσολυμιτικῆς σταχυολογίας.

177. Τεῦχος βομβύκινον (0,255 × 0,18) τῆς ΙΔ' ἑκατ., γραφὲν ὑπὸ τριῶν διαφόρων χειρῶν. Τὸ πρῶτον γράψιμον ἀνήκει εἰς τὴν χεῖρα Ἀντωνίου μοναχοῦ, οὗ ἁπλῆ σημείωσις ἀναγινώσκεται ἐν τῇ ὤᾳ τῆς πρώτης σελίδος.

Γρηγορίου Ναζιανζηνοῦ λόγοι ις' καὶ πρὸς τὸ τέλος (φ. 237—242) τεμάχια γεροντικοῦ. Ἐν ἀρχῇ λόγος εἰς τὸ ἅγιον πάσχα καὶ εἰς τὴν βραδυτῆτα.

178. Τεῦχος βομβύκινον (0,243 × 0,17) ἐκ φύλλων 331, γραφὲν ἐν ἔτει 1338. Κείμενον μονόστηλον ἐξ 26 στίχων καθ' ἑκάστην σελίδα (0,175 × 0,115). Τὰ μὲν δύο πρῶτα φύλλα μεμβράνινα, ἀποσπασθέντα ἐκ λειτουργικοῦ κώδικος τῆς ιβ' ἑκατονταετηρίδος, τὸ δὲ τρίτον χαρτῷον προστεθὲν κατὰ τὸν ιε' αἰῶνα εἰς ἀναπλήρωσιν ἐκπεσόντος κειμένου.

1. Τεμάχιον ἀκολουθίας ψαλλομένης κατὰ τὰ ἅγια πάθη τοῦ Σωτῆρος, φ. 1—2.

«Ἱστορία ψυχωφελὴς ἐκ τῆς ἐνδοτέρας τῶν Αἰθιόπων χώρας τῶν Ἰνδῶν λεγομένης, πρὸς τὴν ἁγίαν πόλιν μετενεχθεῖσα διὰ Ἰωάννου μοναχοῦ ἀνδρὸς τιμίου καὶ ἐναρέτου μονῆς τοῦ ἁγίου Σάβα». Ἀρχ. «Ὅσοι πνεύματι Θεοῦ ἄγονται», φ. 3 — 312.

Ἐν τέλει τοῦ κειμένου ἀσύντακτος καὶ ἀνορθόγραφος κοκκίνη σημείωσις τοῦ ἀντιγραφέως Πέτρου, ὁμολογοῦντος ὅτι ἐπεραίωσε τὴν ἀντιγραφὴν (πόθῳ κυρίου Νικολάου) τῇ 2 φεβρουαρίου ἔτους 6846 ἰνδικτιῶνος 6, ὅ ἐστι τῷ 1338. Παρέπεται δὲ ἡ ὑπογραφὴ αὐτοῦ κρυπτογραφικῶς «Πέτρ(ου) τοῦ Παπαδοπο(ύ)λ(ου) χείρ».

3. Βασιλείου Καισαρείας «λόγος εἰς τὸ ἅγιον βάπτισμα». Ἀρχ. «Ὁ μὲν σοφὸς Σολομῶν», φ. 213. Migne τ. 31, σ. 424.

4. Γρηγορίου Ναζιανζηνοῦ «λόγος εἰς τὰ ἅγια θεοφάνεια εἴτουν γενέθλια». Ἀρχ. «Χριστὸς γεννᾶται», φ. 225. Migne τ. 36, σ. 312.

5. Βασιλείου Καισαρείας «λόγος εἰς τοὺς ἁγίους τεσσαράκοντα μάρτυρας». Ἀρχ. «Μαρτύρων μνήμης», φ. 236. Migne τ. 31, σ. 508.

6. Τοῦ αὐτοῦ «περὶ τοῦ ὅτι ἀκατάληπτός ἐστιν ὁ Θεός». Ἀρχ. «Σαρκὸς μὲν ὀφθαλμοῖς», φ. 244β. Ψευδεπίγραφος λόγος ἀνήκων ταῖς κατηχήσεσι τοῦ ἁγίου Κυρίλλου Ἱεροσολύμων. Migne τ. 33, σ. 637. Πρβλ. Fabricii, Bibl. Gr. τ. IX, σ. 65.

7. «Ἰωάννου ἐπισκόπου λόγος ἱστορικὸς εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ γέννησιν». Ἀρχ. «Ὁπόταν τὸ ἔαρ ἐπέλθῃ», φ. 251. Φέρεται καὶ ἐπ' ὀνόματι τοῦ ἁγίου Ἰωάννου Δαμασκηνοῦ. Fabricii, Bibl. Gr. τ. IX, σ. 740. X, σ. 239.

8. Βασιλείου Καισαρείας «ὁμιλία πρὸς τοὺς πλουτοῦντας». Ἀρχ. «Εἴρηται καὶ πρώην», φ. 265β. Migne τ. 31, σ. 277.

9. Μαρτύριον τῶν ἁγίων Εὐσταθίου καὶ Θεοπίστης καὶ τῶν δύο τέκνων αὐτῶν Ἀγαπίου καὶ Θεοπίστου. Ἀρχ. «Τραϊανοῦ τὰ Ῥωμαίων», φ. 280. Analecta Bollandiana τ. III, σ. 66.

10. Παλλαδίου (ἐκ τῆς πρὸς Λαῦσον ἱστορίας) περὶ τοῦ ὁσίου Σεραπίωνος καὶ τῶν παρθένων Ταμιαίνης καὶ Ἀλεξανδρείας. Ἀρχ. «Σεραπίων τις τῷ γένει γέγονεν Αἰγύπτιος», φ. 307. Migne τ. 34, σ. 1180. Κατὰ σημείωσιν τοῦ καλλιγράφου ἐν φ. 313 τὸ παρὸν τμῆμα τοῦ κώδικος ἐτελειώθη τῇ 24 μαρτίου(1338).

11. Ἰωάννου Χρυσοστόμου «λόγος εἰς τὸν εὐαγγελισμὸν τῆς

Θεοτόκου». Ἀρχ. «Πάλιν χαρᾶς εὐαγγέλια», φ. 314. Migne τ. 50, σ. 791.

12. Γρηγορίου Ναζιανζηνοῦ «λόγος εἰς τὸ ἅγιον πάσχα καὶ εἰς τὴν βραδυτῆτα». Ἀρχ. «Ἀναστάσεως ἡμέρα», φ. 318. Migne τ. 35, σ. 396.

13. Διήγησις περὶ τῆς "ἀκαθίστου" ἡμέρας. Ἀρχ. «Ἐν τοῖς χρόνοις Ἡρακλείου», φ. 321.

179. Ἀνθολόγιον χαρτῷον (0,24×0,17) τῆς ΙΗ' ἑκατ. ἐκ σελίδων 103, περιέχον ἀκολουθίας εἰς διαφόρους ἁγίους, ὡς Ἄνθιμον Νικομηδείας, Ἀνανίαν καὶ Ῥωμανὸν μελῳδόν, ἱερομάρτυρα Διονύσιον κλπ.

180. Τεῦχος χαρτῷον (0,245×0,17) ἐκ φύλλων 42 γραφὲν περὶ τὸ τέλος τῆς ΙΗ' ἑκατ. (ὑπὸ Ἰωαννικίου ἁγιοσαββίτου).

«Διδασκαλία περὶ ἐξομολογήσεως κατ' ἐρωταπόκρισιν, ὠφέλιμος διὰ τοὺς πνευματικοὺς πῶς νὰ ἐξομολογοῦν καὶ διὰ τοὺς κοσμικοὺς πῶς νὰ ἐξομολογοῦνται, συλλεχθεῖσα παρὰ τοῦ πατριάρχου Κωνσταντινουπόλεως Καλλινίκου, εἰς τὴν ὁποίαν ὁ ἐπίσκοπος ἐρωτᾷ καὶ ὁ πνευματικὸς ἀποκρίνεται». Ἀρχ. «Τὰ τῆς ἁγίας ἡμῶν ἐκκλησίας μυστήρια» κτλ. Ἐξεδόθη ἐν Βιέννῃ τῷ 1787. Γ. Ζαβίρα, Νέας Ἑλλάδος σ. 410—411. Α. Π. Βρετοῦ, Νεοελλ. Φιλολογ. Ι, σ. 113, ἀριθ. 318.

181. Τεῦχος βομβύκινον (0,25×0,165) ἐκ 270 φύλλων, γραφὲν παρὰ διαφόρων χειρῶν τελευτώσης τῆς ΙΓ' ἑκατ. Τετράδια δέ τινα εἰσὶν ἀτάκτως συμπεπηγμένα.

1. Μαξίμου τοῦ ὁμολογητοῦ κεφαλαίων περὶ ἀγάπης ἑκατοντάδες τέσσαρες, ὧν προτέτακται «πρόλογος πρὸς τὸν ὁσιώτατον Ἐλπίδιον». Ἀρχ. «Ἰδοὺ πρὸς τῷ περὶ ἀσκητικοῦ βίου λόγῳ», φ. 1. Migne τ. 90, σ. 960.

2. «Τοῦ αὐτοῦ Μαξίμου ἐκ τῆς τοῦ "πάτερ ἡμῶν" ἑρμηνείας». Ἀρχ. «Ὄνομα τοῦ Θεοῦ», φ. 60β. Τὸ ὅλον κείμενον παρὰ Migne ἔνθ. ἀνωτ. ἀπὸ σελ. 872.

3. «Συνοδικαὶ λύσεις καὶ προτροπαὶ περὶ μεγαλοσχήμων τοῦ λειτουργεῖν» (φ. 61), αἳ οὕτως ἔχουσιν. «Ὁ ἁγιώτατος πατριάρ-

χης Κωνσταντινουπόλεως Νικόλαος, ὁ ἀπὸ τῆς βασιλείας Λέοντος τοῦ φιλοσόφου καὶ μέχρι τῆς βασιλείας Ῥωμανοῦ τοῦ γέροντος. μετὰ τῆς αὐτοῦ ἁγίας ἐξεῖπε συνόδου περὶ τῶν ἀποκειραμένων μεγαλοσχήμων, ὅτι "χάρις χάριν οὐκ ἐκδιώκει, ἀλλὰ καὶ ἁγιάζει μᾶλλον καὶ συνιστᾷ καὶ φωτίζει· διὸ καὶ τοὺς ἀποκειρομένους μεγαλοσχήμους οὐ χρὴ ἀπείργειν τῆς θείας λειτουργίας, κἂν καί τις ἴσως κανὼν εὑρεθῇ ἀπείργων αὐτούς· ἁμαρτία γὰρ καὶ μόνη ἀπείργει τῆς θείας λειτουργίας καὶ οὐχὶ τοῦ μεγάλου σχήματος ὁ ἁγιασμός". Προτροπὴ ἑτέρα. Καὶ αὖθις ὁ οἰκουμενικὸς πατριάρχης Ἰωάννης ὁ Καματηρὸς ὁ ἐπὶ τῆς βασιλείας Ἀλεξίου τοῦ Ἀγγέλου ἐρωτηθεὶς παρὰ τοῦ καθηγουμένου τῆς ἐν Πέτρᾳ μονῆς εἴ γε χρὴ λειτουργεῖν οὓς ἀπέκειρε μεγαλοσχήμους καὶ μοναχούς, Ἀντώνιον καὶ Διονύσιον, προετρέψατο ἅμα τῇ συνόδῳ αὐτοῦ ὅπως ἀκωλύτως λειτουργῶσι καὶ ἀνεμποδίστως: — Εἶτα καί τινος πνευματικοῦ πατρὸς προτροπή. «Ἐγὼ τοῖς προλεχθεῖσιν ὅροις ἑπόμενος προτρέπομαι τῷ ἱερομονάχῳ καὶ πνευματικῷ τέκνῳ Θεοστηρίκτῳ ἱερουργεῖν ἀκωλύτως καὶ ἀκριματίστως, καὶ ὅσον ἀπὸ τοῦ μεγάλου σχήματος μηδαμῶς ἀπείργεσθαι, καθὼς καὶ ἀνωτέρω συνοδικῶς οἱ θεῖοι ἱεράρχαι διεκελεύσαντο· κἀγὼ δὲ πρὸς ἀσφάλειον ἔγραψα ταῦτα».

4. «Ἐκ τῆς ἐπιστολῆς Βασιλείου μοναχοῦ καὶ πρεσβυτέρου πρὸς Εὐθύμιον μοναχὸν» ἀπόσπασμα, οὗ ἡ ἀρχή· «Ἐπιχειρήματα σωματικῶν ἀγώνων», φ. 61β. Παρέπονται «διατάξεις τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου», ὧν ἡ ἀρχή· «Ἐγὼ Πέτρος καὶ Παῦλος» κτλ.

5. «Τοῦ Χούμνου Θεσσαλονίκης» Μιχαὴλ ἀποσπάσματα. Ἀρχ. «Εἰ ἔννομος γάμος ἁμαρτία ἦν», φ. 62.

6. Ἀδήλου ἐπιστολιμαία ἀνεπίγραφος διατριβὴ πρὸς Γεώργιον τὸν Γλυκὺν περὶ ἀσκητικῶν ὑποθέσεων, φ. 64.

7. «Περὶ βρωμάτων τοῦ ἁγίου πατρὸς ἡμῶν Παλλαδίου». Ἀρχ. «Βρωμάτων καὶ πομάτων», φ. 71. Αὐτόθι «περὶ γαστριμαργίας» ὑπὸ τοῦ ὁσίου Βαρσανουφίου. Ἀρχ. «Γαστριμαργίας σημεῖον» κτλ. Αὐτόθι «ἐπιστολὴ Ἰννοκεντίου πάπα Ῥώμης πρὸς

Ἀρκάδιον τὸν βασιλέα». Ἀρχ. «Φωνὴ αἵματος τοῦ ἀδελφοῦ μου Ἰωάννου βοᾷ» κτλ.

8. Ἀποσπάσματα Ἰωάννου τῆς Κλίμακος, Ἐφραὶμ Σύρου, ἀββᾶ Ἀγάθωνος, φ. 71β.

9. Ἰσιδώρου Πηλουσιώτου «πρὸς Εὐσέβιον ἐπίσκοπον ἐπιστολή», ἧς ἡ ἀρχή· «Κτίζεις ὥς φασιν ἐκκλησίαν», φ. 72β.

10. Ἀποσπάσματα ἀββᾶ Ἀγάθωνος, Ἰωάννου Χρυσοστόμου, ἀββᾶ Ἡσαΐου, φ. 73.

11. Μάρκου μοναχοῦ καὶ ἐρημίτου «περὶ νόμου πνευματικοῦ καὶ περὶ τῶν οἰομένων ἐξ ἔργων δικαιοῦσθαι». Ἀρχ. «Ἐπειδὴ πολλάκις ἠβουλήθητε», φ. 74α. Migne τ. 65, σ. 903. Παρέπονται ἀποσπάσματα διαφόρων ἀββάδων καὶ ὁσίων.

12. «Τοῦ αὐτοῦ ἀββᾶ Μάρκου συμβουλία νοὸς πρὸς τὴν ἑαυτοῦ ψυχήν». Ἀρχ. «Ἄκουε ψυχὴ λογική», φ. 99. Migne τ. 65, σ. 1104.

13. «Τοῦ αὐτοῦ περὶ μετανοίας». Ἀρχ. «Ὁ κύριος ἡμῶν», φ. 101β. Migne τ. 65, σ. 965.

14. Τοῦ αὐτοῦ «περὶ τοῦ θείου βαπτίσματος». Ἀρχ. «Ἐπειδὴ οἱ μὲν τέλειον», φ. 108β. Migne τ. 65, σ. 985.

15. Τοῦ αὐτοῦ «διάλογος ἀντιρρητικὸς πρός τινα σχολαστικόν». Ἀρχ. «Ἠρώτησέ τις τῶν ἐλλογίμων», φ. 124β. Migne τ. 65, σ. 1072.

16. Διαδόχου ἐπισκόπου Φωτικῆς «λόγοι ἀσκητικοί». Ἀρχ. «Πάσης ἀδελφοὶ πνευματικῆς», φ. 140β. Migne τ. 65, σ. 1167 κέ. λατινιστί.

17. Ἰωάννου ἐπισκόπου Καρπάθου «κεφάλαια ἑκατὸν ἐκτεθέντα παρ' αὐτοῦ καὶ σταλέντα πρὸς τοὺς ἐν τῇ Ἰνδίᾳ μοναχούς, καὶ τοῦ μὴ μακαρίζειν κοσμικοὺς ὑπὲρ μοναχούς, ὁποῖοι καὶ ἂν ὦσιν». Ἀρχ. «Τοῖς ἐπὶ γῆς βασιλεῦσιν», φ. 166. Φιλοκαλίας τῶν ἱερῶν νηπτικῶν (Ἐνετ. 1772), σ. 241—257.

18. Μαξίμου τοῦ ὁμολογητοῦ «λόγος πρὸς ἡγουμένην περὶ ἀσκητρίας ἐξελθούσης τῆς μονῆς καὶ μετανοησάσης». Ἀρχ. «Οἱ τῆς ἀληθείας κήρυκες», φ. 185. Ἐν τοῖς μετώποις σχόλια.

19. Κασσιανοῦ Ῥωμαίου «πρὸς Κάστορα ἐπίσκοπον περὶ τῶν

ὀκτὼ λογισμῶν» μετὰ σχολίων ἐν τοῖς μετωπίοις. Ἀρχ. «Περὶ γαστριμαργίας: οἱ ἐν ἁγίοις πατέρες», φ. 187.

20. Συμεὼν τοῦ νέου θεολόγου καὶ ἡγουμένου μονῆς Μάμαντος τῆς Ξηροκέρκου «κεφάλαια πρακτικὰ καὶ θεολογικὰ ἑκατόν». Ἀρχ. «Θεὸς τοῖς μὲν σωματικῶς ὁρῶσιν», φ. 200.

21. Τοῦ αὐτοῦ «κεφάλαια πρακτικὰ ἑκατόν». Ἀρχ. «Ἀπαρχὴ Χριστὸς μεσότης», φ. 215.

22. Τοῦ αὐτοῦ «ἕτερα κεφάλαια γνωστικὰ καὶ θεολογικὰ καὶ πρακτικὰ κε'». Ἀρχ. «Οὔτε τῷ θεολογοῦντι ἁρμόζει», φύλ. 228.

23. «Ἐκ τοῦ περὶ ἀποταγῆς λόγου πρώτου. Παρεκβόλαια ἐκ τῆς παναρέτου βίβλου τοῦ ὁσίου πατρὸς ἡμῶν Δωροθέου». Ἀρχ. «Ἀδὰμ φύσει ἐκτίσθη», φ. 241. Παρέπονται ἄλλων λόγων ἀποσπάσματα τοῦ αὐτοῦ ὁσίου.

24. Συμεὼν τοῦ νέου θεολόγου «δύο κεφάλαια». Ἀρχ. «Ὁ αἰσθητὸς ἥλιος θεωρεῖται», φ. 269β.

182. Τεῦχος χαρτῷον (0,233×0,17) ἐκ 317 φύλλων· ἐγράφη δὲ μεταξὺ τῶν ἐτῶν 1771—1780 ὑπὸ Κοσμᾶ μοναχοῦ (τοῦ ἐκ Γανοχώρων). Ἐπὶ φύλλου ἀγράφου προσετέθη σημείωσις ἐξ ἧς δηλοῦται ὅτι τὸ τεῦχος ἀφιερώθη «ἀπὸ τὸν διδάσκαλον Ματ(θαῖον) εἰς τὸν θεράποντα αὐτοῦ κὺρ Κοσμᾶν» καὶ ὅτι βραδύτερον «ἀφιερώθη εἰς τὸν Κυριάκον Βάρναλη ἁγιοταφίτην», ἐπὶ τῆς ἐν Ἱεροσολύμοις ἐπιτροπείας Προκοπίου Ναζιανζηνοῦ καὶ Μισαὴλ μητροπολίτου Πέτρας. Ἑτέρα δὲ σημείωσις ἐν φ. 1 λέγει· «καὶ τόδε ἐμοῦ Κυριάκου τοῦ ἀπὸ Βάρνης ͵αψογ'».

Μαθηματάριον μετὰ ψυχαγωγίας εἰς τὰ ἑξῆς διδαχθέντα κείμενα· α') γνῶμαι μονόστιχοι διαφόρων ποιητῶν συλλεγεῖσαι ὑπὸ Χρυσολωρᾶ. β') Νείλου ἀσκητοῦ γνῶμαι ἀπάγουσαι τῶν φθαρτῶν καὶ κολλῶσαι τοῖς ἀφθάρτοις τὸν ἄνθρωπον· ἐν τέλει «͵αψοα' ἰουλίου η', διὰ χειρὸς Κοσμᾶ μοναχοῦ». γ') Ἀντωνίου Βυζαντίου χρηστοήθεια, ἧς ἐν τέλει· «σεπτεμβρίου 2, 1780, ἐγράφησαν τὰ παρόντα κεφάλαια καὶ τὸ προοίμιον». δ') Γρηγορίου Ναζιανζηνοῦ γνωμικὰ μονόστιχα καὶ τετράστιχα. ε') Λουκιανοῦ ἐνύπνιον. ϛ')

Χρυσοστόμου λόγος περὶ προσευχῆς καὶ ἐγκώμιον εἰς τοὺς ἁγίους πάντας. ζ') Βασιλείου τοῦ μεγάλου λόγοι διάφοροι. η') Κανόνες ἰαμβικοὶ Κοσμᾶ, Δαμασκηνοῦ, Μάρκου Ἱδροῦντος. θ') Χρυσοστόμου λόγος εἰς Εὐτρόπιον.

183. Τεῦχος χαρτῷον (0,237×0,17) ἐκ 265 φύλλων, γραφὲν τελευτώσης τῆς ΙΗ' ἑκατ. ὑπὸ Ἐπιφανίου ἱεροδιακόνου τοῦ ἐκ Βάρνης.

(Νεοφύτου Πελοποννησίου) «συλλογὴ πάντων τῶν ἱερῶν κανόνων, τῶν ἀποστολικῶν τῶν οἰκουμενικῶν συνόδων τῶν τοπικῶν καὶ τῶν κατὰ μέρος ἁγίων πατέρων». Ἀντίγραφον τῆς ἐνετικῆς ἐκδόσεως ἔτους 1787.

184. (Μαξίμου Συμαίου καὶ Ἰωὴλ Πελοποννησίου) γραμματικὴ ἐκ φύλλων 80, γραφεῖσα ἐν ἀρχῇ τοῦ ἐνεστῶτος αἰῶνος· ἦν δὲ κτῆμα Μοδέστου ἱεροδιακόνου Μυτιληναίου. Ἀρχ. «Γραμματική ἐστι τέχνη περὶ τὸν προφορικὸν λόγον καταγινομένη».

185. Τεῦχος χαρτῷον (0,248×0,18) ἐξ 132 φύλλων· αὐτόγραφον τοῦ μοναχοῦ Προκοπίου Ναζιανζηνοῦ παρασκευασθέν, ὡς φαίνεται, εἰς ἐκτύπωσιν.

«Κατάλογος τῶν πατριαρχῶν τῆς ἁγίας πόλεως Ἱερουσαλήμ, ἀρχόμενος ἀπὸ τῆς πρώτης μέχρι τῆς δεκάτης ὀγδόης σωτηριώδους ἑκατονταετηρίδος, ἤτοι ἀπὸ τοῦ πρώτου ἱεράρχου τῶν Ἱεροσολύμων Ἰακώβου τοῦ ἀδελφοθέου μέχρι τοῦ ἤδη μακαριωτάτου πατριάρχου κυρίου κυρίου Πολυκάρπου. Ἱστορία καὶ διήγησις τῶν ὑπὸ τῶν ἑτεροδόξων περὶ τῶν πανσέπτων προσκυνημάτων διατρεξάντων, ἐρανισθεῖσα παρὰ πολλῶν μὲν καὶ ἄλλων ἱστορικῶν, ἐκ συγγαφῆς δὲ μάλιστα συλλεγεῖσα τῶν μακαριωτάτων πατριαρχῶν Δοσιθέου Μελετίου καὶ Παρθενίου τῶν ἀοιδίμων, καὶ ἐξ ὑπομνημάτων πρὸς τούτοις καὶ ὑποσημειώσεων τοῦ ἐν μοναχοῖς Προκοπίου ἁγιοταφίτου Ναζιανζηνοῦ, παρ' οὗ καὶ συνοπτικῶς συνετέθη πρὸς χάριν τῶν ζηλωτῶν συγκοινοβιατῶν αὐτοῦ. Φιλοτίμῳ δὲ δαπάνῃ . . . πρῶτον ἐν τύποις δέδοται . . . ἐπιστασίᾳ καὶ ἐπιμελείᾳ . . . ἐν ἔτει σωτηρίῳ ͵αωκ'». Ἀρχ. «Ἡ ἐκκλησιαστικὴ ἱστορία εἶναι κατὰ πολλοὺς τρόπους ὠφέλιμος» κτλ.

186. Τετράδια συμπεπηγμένα εἰς 8-ον, περιέχοντα τὸ πρωτότυπον τῶν ὑπὸ Μαξίμου Συμαίου συγγραφέντων περὶ Παλαιστίνης καὶ Ἱερουσαλήμ. Εἰς διαφόρους τόπους ὑπάρχουσι χάσματα διὰ τὴν ἀπώλειαν ἐνίων τετραδίων. Πλῆρες δὲ ἀντίγραφον περιγραφήσεται ἐν τῷ δευτέρῳ τόμῳ τοῦ παρόντος καταλόγου. Προσθετέον ὅτι τὰ φ. 109—133 εἰσὶ παρένθετα καὶ ὅτι ἐνέχουσι ἀνώνυμον ἑρμηνείαν εἰς τὸ «ὁ Ἰησοῦς μου ζωὴ σοφία καὶ φῶς».

187. Τεῦχος χαρτῷον (0,232×0,17) ἐκ 55 φύλλων· αὐτόγραφον Ἀθανασίου Κομνηνοῦ τοῦ Ὑψηλάντου. Ἐν ἀρχῇ φύλλον ἀσελίδωτον, ἐν ᾧ ἀναγινώσκεται ἡ ἑξῆς σημείωσις.

«Κατάλογος τῶν πέντε πατριαρχικῶν θρόνων, ὅστις ἀφιερώθη εἰς τὴν ἐν Κωνσταντινουπόλει βιβλιοθήκην τοῦ μετοχίου τοῦ παναγίου καὶ ζωοδόχου Τάφου παρὰ τοῦ κὺρ Ἀθανασίου Κομνηνοῦ Ὑψηλάντου Κωνσταντινουπολίτου, καὶ (ὁ) τοῦτον ἀφαιρησόμενος εἴη ὑπόδικος τῷ αἰωνίῳ ἀναθέματι. † ὁ Ἱεροσολύμων Ἀβράμιος» [1].

1. «Ἐκ τοῦ πρώτου βιβλίου τῶν ἐκκλησιαστικῶν καὶ πολιτικῶν Ἀθανασίου Κομνηνοῦ Ὑψηλάντου Κωνσταντινουπολίτου, τοῦ καὶ μεγάλου σκεοφύλακος τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας καὶ πρώην μεγάλου σπαθαρίου Βλαχίας, κεφάλαιον θ': οἱ ἀπὸ ἔτους σωτηρίου λγ' μέχρι τοῦ ,αψος' ἐν Ἱεροσολύμοις πατριαρχεύσαντες», σελ. 1—11.

2. «Κεφάλαιον ιγ' τοῦ αὐτοῦ πρώτου βιβλίου: οἱ ἀπὸ ἔτους μη' μέχρις ἔτους ,αψος' ἐν τῇ Ἀντιοχείᾳ πατριαρχεύσαντες», σελ. 12—28.

3. «Κεφάλαιον ιε' τοῦ αὐτοῦ πρώτου βιβλίου: οἱ ἀπὸ ἔτους πεντηκοστοῦ μέχρις ἔτους ,αψος' ἐν Κωνσταντινουπόλει πατριαρχεύσαντες», σελ. 29—56. Ἡ σελὶς 57 ἀφέθη κενή.

4. «Κεφάλαιον ιθ' τοῦ αὐτοῦ πρώτου βιβλίου: οἱ ἀπὸ ἔτους σωτηρίου ξγ' μέχρις ἔτους ,αψος' ἐν Ἀλεξανδρείᾳ πατριαρχεύσαντες», σελ. 58—65. Λήγει τοὐναντίον εἰς τὴν ἔτει 1756 πατριαρχίαν Κυπριανοῦ. Ἡ σελὶς 66 κενή.

[1] Ὁ κατάλογος οὗτος περιληφθήσεται ἐν τῷ δευτέρῳ τόμῳ τῶν ἀναλέκτων τῆς ἱεροσολυμιτικῆς σταχυολογίας.

*

5. «Κεφάλαιον κγ΄ τοῦ αὐτοῦ πρώτου βιβλίου: οἱ μετὰ τὸ μαρτύριον τῶν ἀποστόλων Πέτρου καὶ Παύλου ἀπὸ ἔτους σωτηρίου ξθ΄ μέχρις ἔτους σωτηρίου ͵αψος΄ ἐπίσκοποι τῆς Ῥώμης καὶ τὰ αὐτῶν σχίσματα», σελ. 67—97. Ἐν τέλει πρόσθετος σημείωσις· «ὁ πατριάρχης Ἀβράμιος ͵αψοζ΄, σεπτεμβρίου α΄:—ἐκ Βασιλευούσης». Παρέπονται 11 σελίδες κεναί.

188. Μαθηματάριον χαρτῷον (0,238×0, 17) συναποτελούμενον ἐκ διαφόρων ἀνίσων τετραδίων, γραφέντων ὑπερμεσούσης τῆς ΙΗ΄ ἑκατ. Τὸ ὅλον φύλλα 401.

1. Ὁμήρου Ἰλιάδος α—θ μετὰ σχολίων, φ. 1—279.

2. Ἀναστασίου Σιναΐτου ἐκ τῶν ἐρωτήσεων ἡ ρη΄, ἧς ἡ ἀρχή· «Πρέπει ἄρα τὸν χριστιανὸν ἀνοίγειν» κτλ., φ. 280.

3. «Ταῦτα φασὶν εἶναι Ἀριστοτέλους πρὸς Ἀλέξανδρον καὶ Πυθαγόρου καὶ Πτολεμαίου ἐφευρέματα, παίγνια μέντοι». Ἀρχ. «Οἱ ἀρχαῖοι τὰς ἡμέρας τῆς ἑβδομάδος», φ. 287β.

4. Ὁμήρου Ὀδυσσείας α—ε μετὰ σχολίων, φ. 304 κέ.

189. Ἐπιστολάριον χαρτῷον (0,238×0,165).

1. Ἓξ τετράδια γραφέντα ἐν ἀρχαῖς τῆς ἐνεστώσης ἑκατονταετηρίδος καὶ περιέχοντα σχέδια ἐπιστολῶν (τοῦ γραμματέως Ἀνθίμου μοναχοῦ) πρὸς πατριάρχην Ἱεροσολύμων, πρὸς κληρικοὺς τοῦ ἁγίου τάφου κτλ., φ. 1 — 48. Ἐν αὐτοῖς ἀναγινώσκονται καὶ πληροφορίαι τινὲς ἀναφερόμεναι εἰς τὴν ἱστορίαν τῆς ἁγιοταφιτικῆς ἀδελφότητος.

2. Τετράδιον προσερραμμένον, ἐν ᾧ ἀναγινώσκεται μακρὰ ἐξ Ἱερουσαλὴμ (11 μαρτίου 1798) ἐπιστολὴ Χρυσάνθου ἀρχιμανδρίτου πρὸς Ἀλέξανδρον προσκυνητήν, φ. 52 κέ.

3. Πρωτότυπον ἐπιστολῆς ἀνωνύμου πρὸς τὸν ἐν Ἱεροσολύμοις «σοφολογιώτατον διδάσκαλον καὶ ἱεροκήρυκα τοῦ ἁγίου τάφου» Μακάριον, φ. 58.

4. Ἀπόσπασμα ἑτέρου τεύχους, περιέχον σχέδια ἐπιστολῶν ἀπὸ Σμύρνης (νοέμβρ. καὶ δεκέμβρ. 1744), φ. 59.

5. Δυάδιον τῆς ΙΗ΄ ἑκατ. ἐπιγραφόμενον «πότε κοινωνεῖ ὁ ὀνειρασθείς, κεφ. κη΄». Ἀρχ. «Ἐν τῷ τετάρτῳ κανόνι», φ. 70.

6. Δυάδιον τῆς ΙΗ' ἑκατ. ἐπιγραφόμενον «περὶ τῶν παραδόξων μυστηρίων ὁποῦ ἔγιναν εἰς τὸν καιρὸν τῆς γεννήσεως τοῦ Χριστοῦ, καὶ ὅτι πρῶτον εἰς τοὺς Πέρσας ἐγνώσθη ἡ ἐπιφάνεια τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ περὶ τῶν μάγων καὶ τοῦ ἀστέρος· τὰ ὁποῖα ἐδιηγήθη ὁ φιλόσοφος Ἀφροδιτιανός», φ. 74.

190. Τεῦχος χαρτῷον (0,23 × 0,17) ἐκ 299 φύλλων, ὅπερ κατὰ σημείωσιν ἐν τῇ πρώτῃ πινακίδι ἀνῆκε τῇ 13 νοεμβρίου 1800 Κοσμᾷ τῷ ἀπὸ Γανοχώρων. Ἄλλη σημείωσις δηλοῖ ὅτι ὁ αὐτὸς Κοσμᾶς ἦλθεν εἰς Προῦσαν τῇ 27 ἰουλίου 1787.

1. Γεωμετρία μετὰ σχημάτων. Ἀρχ. «α', Σημεῖόν ἐστιν οὗ μέρος οὐθέν», φ. 1—183^{α}. Ἐν τέλει· «τέλος τῆς γεωμετρίας καὶ τῶν τοῦ Ἀρχιμήδους θεωρημάτων. Ἐν μησὶν ὀκτὼ τῷ γεωμετρεῖν τέλος ἔθηκ', ἀριθμεῖν σὺν Θεῷ δὲ ἠρξάμην ͵αψπς' σεπτεμβρίου ς'».

2. Ἀριθμητική, ἧς ἡ ἀρχή· «Ἀριθμητική ἐστιν ἡ ἐπιστήμη», φ. 183^{β}—233. Τὰ φ. 233^{β}—244^{β} ἀφέθησαν ἄγραφα.

3. «Γεωμετρίας μέρος α' περὶ ἐπιπεδομετρίας». Ἀρχ. «Ἡ γεωμετρία ἐστὶν ἐπιστήμη», φ. 245 κέ. Διαιρεῖται δὲ εἰς ε' κεφάλαια καὶ 393 παράγραφα. Μετὰ ἄγραφά τινα φύλλα ἀπαντῶσι δέκα πίνακες σχημάτων.

191. Τεῦχος χαρτῷον ἐκ 390 φύλλων, ἀπαρτισθὲν διὰ τετραδίων τριῶν διαφόρων ἀντιγραφέων τῆς ΙΖ' ἑκατονταετηρίδος.

1. Ἀνωνύμου «προλεγόμενα τῆς λογικῆς πραγματείας. Προσδιορισμὸς τῶν λεχθησομένων καὶ ζητήματα τῆς ὅλης λογικῆς πραγματείας». Ἀρχ. «Τῶν ζητουμένων περὶ ἑκάστου τῶν ὄντων», φύλλ. 1—5.

2. «Ἀμμωνίου τοῦ Ἑρμείου ὑπόμνημα εἰς τὰς πέντε φωνάς». Ἀρχ. «Μέλλοντας ἡμᾶς φιλοσόφων», φ. 6—48. Ἐν τέλει· «τέλος τῶν πέντε φωνῶν τοῦ Πορφυρίου ὁμοῦ μετὰ τῆς ἐξηγήσεως τοῦ Ἀμμωνίου: ἐγράφη παρὰ Κυρίλλου ἱερομονάχου τοῦ ἁγίου τάφου, τοῦ ἐκ χώρας Δελβίνου τῆς παλαιᾶς Ἠπείρου, ἐν τῇ σεβασμίᾳ μονῇ τοῦ προφήτου Ἠλιοῦ κατὰ τὸ ͵αχϟς'».

3. «Ἀμμωνίου τοῦ Ἑρμείου εἰς τὰς τοῦ Ἀριστοτέλους κατη-

γορίας ὑπόμνημα». Ἀρχ. «Ἐπεὶ δὲ λογικῆς πραγματείας», φ. 49—85. Προτέτακται βίος Ἀριστοτέλους, οὗ ἡ ἀρχή· «Ἀριστοτέλης τῷ μὲν γένει» κτλ. Τὸ κείμενον τοῦ ὑπομνήματος ἀτελές.

4. «Ἔκθεσις συνοπτικὴ τῆς ὅλης συλλογιστικῆς πραγματείας, ἐκδοθεῖσα παρὰ τοῦ σοφωτάτου καὶ λογιωτάτου Κορυδαλλέως». Ἀρχ. «Ὅσα ἕνεκά του κινεῖται», φ. 86 κέ. Τέσσαρα τετράδια ἠριθμημένα.

5. Κανόνες τῶν ἁγίων ἀποστόλων, τοπικῶν συνόδων καὶ τῶν τριῶν πρώτων οἰκουμενικῶν συνόδων, φ. 126 κέ.

6. Γρηγορίου Ναζιανζηνοῦ ὁμιλίαι καὶ ἔπη, φ. 189 κέ.

7. Φωτίου πατριάρχου ἀμφιλόχια ἀτάκτως γεγραμμένα, φ. 293—367. Ἐν τέλει· «μερικὰ ὅσα ἐδυνήθην ἀπὸ τὸ βιβλίον τὰ Ἀμφιλόχια ἔγραψα, καὶ ταῦτα ἐν βίᾳ, ἐπὶ ἔτους τὸ σωτήριον ͵αχμη΄ αὐγούστῳ ε΄. Κύριλλος ἱερομόναχος ὁ ἐκ Δελβίνου τοῦ Ἰλλυρικοῦ τῆς παλαιᾶς Ἠπείρου: καὶ οἱ ἀναγινώσκοντες εἴ τι σφαλερὸν εὕρητε σύγγνωταί(-έ) μοι· ἀνθρώπινον γὰρ πάθος τὸ ἁμαρτάνειν:—ταῦτα ἐν βίᾳ ἔγραψα, τὰ πρῶτα ὕστερα καὶ τὰ ὕστερα πρῶτα, διότι ἤθελον νὰ πάρουν τὸ πρωτότυπον βιβλίον».

8. Ἐκλογαὶ θεολογικαί, φ. 368—390.

192. Τεῦχος χαρτῷον (0,232×0,175) ἐκ 383 φύλλων, γραφὲν ἐν ἔτει 1616. Καθ' ἑκάστην σελίδα 22 στίχοι (0,157×0,10). Τὰ τρία πρῶτα φύλλα περιέχουσι τὸν πίνακα τῶν κειμένων. Πανηγυρικὸν κατὰ τὴν ἑξῆς τάξιν.

1. Ἰωάννου Χρυσοστόμου ὁμιλίαι πέντε, ὧν ἡ πρώτη εἰς τὸν τελώνην καὶ φαρισαῖον. Ἀρχ. «Ἡ περὶ τὸν τελώνην παραβολή», φ. 4.

2. «Λόγοι ἐκλελεγμένοι ἐκ πολλῶν βιβλίων διδασκαλικῶν, συναχθέντες παρὰ ἱερέως κυροῦ Μάρκου τῷ τῆς Κρήτης διδακτῇ· ἀρχόμενον τῆς πρώτης ἑβδομάδος τῆς ἁγίας καὶ μεγάλης μ΄ μέχρι τῆς παρασκευῆς τοῦ Λαζάρου, ἄνευ τῶν κυριακῶν». Ἀρχ. «Ἔφθασε καιρὸς ὁ τῶν πνευματικῶν ἀγώνων», φ. 48—177.

3. Ἰωάννου Χρυσοστόμου ἐνέα ὁμιλίαι, ὧν ἡ μὲν πρώτη ἀναγινώσκεται τῷ σαββάτῳ τοῦ Λαζάρου, ἡ δὲ τελευταία τῇ μεγάλῃ τετάρτῃ, φ. 178—243α.

4. Ἐφραὶμ Σύρου λόγος εἰς τὴν πόρνην τὴν ἀλείψασαν μύρῳ τὸν Κύριον. Ἀρχ. «Πολλῶν ὄντων τῶν ὁσίων», φ. 243β.

5. Ἰωάννου Χρυσοστόμου λόγος εἰς τὴν προδοσίαν τοῦ Ἰούδα. Ἀρχ. «Ἐβουλόμην μέν», φ. 252β.

6. Ἀναστασίου Σιναΐτου ὁμιλία λεχθεῖσα εἰς τὸ πάθος τοῦ Κυρίου. Ἀρχ. «Εἰργάσατο σήμερον», φ. 263.

7. Ἐπιφανίου Κύπρου λόγος εἰς τὴν θεόσωμον ταφὴν τοῦ Κυρίου. Ἀρχ. «Τί τοῦτο σήμερον», φ. 285β.

8. Ἰωσὴφ Βρυεννίου «τῇ ἁγίᾳ καὶ μεγάλῃ κυριακῇ τοῦ πάσχα λόγος πανηγυρικός». Ἀρχ. «Λαμπρὰ σήμερον», φ. 299β.

9. Ἰωάννου Χρυσοστόμου δέκα ὁμιλίαι, ὧν ἡ μὲν πρώτη κατηχητικὴ διὰ τὸ πάσχα, ἡ δὲ τελευταία ἐρρέθη τῇ κυριακῇ τῆς τυροφάγου ἑβδομάδος, φ. 302β—363.

10. Γρηγορίου Ἀλεξανδρείας λόγος εἰς τὴν ἀνάληψιν τοῦ Κυρίου. Ἀρχ. «Ἐπειδὴ χάριτι Θεοῦ», φ. 364.

11. Ἰωάννου Χρυσοστόμου λόγος τῇ κυριακῇ τῶν ἁγίων 318 πατέρων. Ἀρχ. «Μετὰ τὴν ἑορτήν», φ. 367β.

12. Τοῦ αὐτοῦ λόγος εἰς τὴν κυριακὴν τῆς πεντηκοστῆς. Ἀρχ. «Τῇ ἐσχάτῃ ἡμέρᾳ», φ. 373. Ἐν φ. 381β· «εἴληφε τέρμα τὸ παρὸν ἕως ὧδε ἔτους τοῦ σωτηρίου ,αχις' δεκεμβρίου ια' διὰ χειρὸς Μερκουρίου εὐτελοῦς ἱερομονάχου τοὐπίκλη Βενετζά, ἐν τῇ μονῇ τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἀντωνίου τοῦ μεγάλου, τοῦ ἐπονομαζομένου Βροντησίου, ἡγεμονεύοντος τοῦ πανοσιωτάτου καὶ σοφωτάτου πατρὸς ἡμῶν κυρίου κυρίου Λαυρεντίου τοῦ Μαρίνου».

193. Τεῦχος χαρτῷον (0,235 × 0,175) ἀντιγραφὲν ἔτει 1832 ἐξ ἐντύπου φυλλαδίου.

«Ἀκολουθία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μάρκου ἀρχιεπισκόπου Ἐφέσου τοῦ Εὐγενικοῦ, τοῦ λαμπροῦ προμάχου καὶ μόνου φύλακος τῆς ὀρθοδόξου ἡμῶν πίστεως, συντεθεῖσα μὲν ὑπὸ τοῦ ὁσιολογιωτάτου ἐν μοναχοῖς κυρίου Νικοδήμου τοῦ Ναξίου, παρὰ δὲ ἑνὸς ἑτέρου ἐν πολλοῖς διορθωθεῖσα· ἐν ᾗ καὶ τὸ συνοδικὸν προλάμπει, δι' οὗ θεσπίζεται πανταχοῦ ἡ τούτου ἁγιότης καὶ

ἑορτῇ. Ἅτινα δὴ πάντα νῦν πρῶτον τύποις ἐκδίδονται φιλοτίμῳ δαπάνῃ τῇ τοῦ πανιερολογιωτάτου καὶ σεβασμιωτάτου μητροπολίτου Ἐφέσου κυρίου Διονυσίου, ὑπερτίμου καὶ ἐξάρχου πάσης Ἀσίας, τοῦ Κωνσταντινουπολίτου, ὡς οἰκειότητα πρὸς τὸν κλεϊζόμενον τελείαν ἔκ τε τοῦ θρόνου καὶ τῆς πατρίδος ἔχοντος. Ἐν τῷ τυπογραφείῳ τοῦ προσκυνητοῦ πατριαρχείου.—Ἀντεγράφη ὑπὸ τοῦ ὁσιωτάτου ἐν ἱεροδιακόνοις κυρίου Αὐξεντίου καὶ ἐθεωρήθη παρὰ τοῦ Βενεδίκτου Ῥώσσου: 1832 ὀκτωβρίου 27.—Βενέδικτος Ῥ:». Περιεχόμενα· α') συνοδικὸν Σεραφεὶμ οἰκουμενικοῦ πατριάρχου, β') στίχοι Θεοδώρου ἱερομνήμονος, γ') ἀκολουθία καὶ βίος τοῦ ἁγίου Μάρκου.

194. Τεῦχος χαρτῷον (0,235 × 0,17) ἐκ φύλλων 67, γραφὲν περὶ τὸ τέλος τῆς ΙΗ' ἑκατονταετηρίδος.

1. Μάρκου Εὐγενικοῦ «κανόνες παρακλητικοὶ εἰς τὴν ὑπεραγίαν Θεοτόκον, ψαλλόμενοι ἐν ταῖς πεντεκαίδεκα τοῦ αὐγούστου μηνός». Κανόνες ὀκτώ, ἐξ ὧν εἷς εὕρηται ἐν τῷ Θεοτοκαρίῳ τοῦ μοναχοῦ Νικοδήμου τοῦ Ναξίου, ἐκδ. Γ. Μουσαίου (ἐν Κ/πόλει 1849), σ. 103—106.

2. «Ἕτεροι κανόνες ψαλλόμενοι ἐν τῇ τοῦ αὐγούστου νηστείᾳ τῆς ὑπεραγίας Θεοτόκου, ποιηθέντες δὲ ὑπὸ Μανουὴλ ῥήτορος τῆς μεγάλης ἐκκλησίας», φ. 37 κέ. Κανόνες ὀκτώ, ἐξ ὧν τρεῖς ἐν τῷ μνησθέντι Θεοτοκαρίῳ, σ. 50, 90, 119.

195. Τεῦχος χαρτῷον ἐκ φύλλων 55, γραφὲν ὑπερμεσούσης τῆς ΙΗ' ἑκατονταετηρίδος. Ἀδήλου «γραμματικῆς κανόνων πέρι» εἰς §§ φμδ'. Ἀρχ. «Ὅρος κανόνος. Κανὼν ἐστι λόγος ἔντεχνος δηλωτικὸς» κτλ.

196. Τεῦχος χαρτῷον (0,23 × 0,165) ἐκ 301 σελίδων, γραφὲν ἔτει 1797. Καθ' ἑκάστην σελίδα 23 στίχοι (0,178×0,12).

«Γραμματική· περὶ συντάξεως τοῦ κατὰ τὴν γραμματικὴν λόγου καὶ τῶν τούτου ὀκτὼ μερῶν, ἐκ τῆς τοῦ Θεοδώρου καὶ τῶν ἐκείνου ἐξηγητῶν συνερανισθεῖσα». Ἀρχ. «Γραμματική ἐστι νοὸς ἕξις» κτλ. Ἐν ἀρχῇ τοῦ τεύχους πίναξ τῶν κεφαλαίων εἰς 5 φύλλα, ἐν τέλει δὲ φύλλα δέκα ἀναλυτικοῦ καὶ ἀλφαβητικοῦ πίνακος. Εἰς

σελ. 301 σημείωσις τοῦ καλλιγράφου· «ἐν Ἱερουσαλήμ, ἐν ἔτει ͵αψηζʹ, ἐν μηνὶ φεβρουαρίου»(-ῳ).

197. Τεῦχος χαρτῷον (0,23 × 0,165) ἐκ σελίδων 128+193.

(Μαξίμου Συμαίου καὶ Ἰωὴλ Πελοποννησίου) γραμματικῆς τῶν εἰς γʹ τὸ αʹ καὶ βʹ τμῆμα. Ἀρχ. «Γραμματική ἐστι τέχνη περὶ τὸν προφορικὸν λόγον καταγινομένη» κτλ. Ἐν τέλει· «εἴληφε δὲ τέρμα τὸ παρὸν πονημάτιον Θεοῦ συναιρομένου ἐν τῇ ἁγίᾳ πόλει Ἱερουσαλὴμ παρ' ἐμοῦ Νικολάου Κυπρίου ἐν ἔτει χιλιοστῷ ὀκτακοσιοστῷ ἕκτῳ, ἰανουαρίῳ καʹ».

198. Τεῦχος χαρτῷον (0,23×0,165) ἐκ σελίδων 140 καὶ τριῶν ἐν ἀρχῇ ἀσελιδώτων φύλλων, ἐν οἷς ἀναγινώσκω τάδε· «Γραμματικὴ περὶ προσῳδίας καὶ ὀρθογραφίας, ἐρανισθεῖσα ἀπὸ διαφόρων βιβλίων ὑπὸ τοῦ Μαξίμου τοῦ Συμαίου καὶ Ἰωὴλ τοῦ Πελοποννησίου, ἀρχιμανδριτῶν τοῦ ἀποστολικοῦ θρόνου τῶν Ἱεροσολύμων, καὶ προσφωνηθεῖσα τῷ μακαριωτάτῳ πατριάρχῃ τῶν Ἱεροσολύμων ἐν ἔτει ͵αωξβʹ, ἐν μηνὶ μαρτίῳ. Ὁ ἀρχιμανδρίτης Ἰωὴλ γράφω καὶ βεβαιῶ, ἡ δὲ μακαριότης σου, δέσποτα, ἂν τὸ κρίνῃς εὔλογον, βάλετο εἰς τὸν τύπον διὰ τὴν τιμὴν τῶν τέκνων σου ἁγιοταφιτῶν πατέρων, καὶ θέλεις ἔχῃς ἔπαινον καὶ καύχημα, διότι εἶναι πόνος καὶ καρπὸς τῶν ἁγιοταφιτῶν πατέρων τῶν πνευματικῶν τέκνων σου. Ὁ δοῦλός σου καὶ ἐν Χριστῷ υἱός σου Ἰωήλ. ͵αωξβʹ μαρτίου κεʹ».

Σελὶς 1 «Γραμματικῆς τῶν εἰς τρία τὸ βʹ, περὶ προσῳδίας καὶ ὀρθογραφίας». Ἀρχ. «Τί ἐστι γραμματική; γραμματική ἐστιν ἐμπειρία τῶν παρὰ ποιηταῖς» κτλ. Ἐν σελ. 140· «εἴληφε δὲ τέρμα τὸ παρὸν πονημάτιον Θεοῦ συναιρομένου ἐν τῇ ἁγίᾳ πόλει Ἱερουσαλήμ, ἐν ἔτει ͵αψηζʹ, ἰουλίου 17».

199. Τεῦχος χαρτῷον (0,228×0,17) ἐξ 110 σελίδων, γραφὲν τελευτώσης τῆς ΙΗʹ ἑκατονταετηρίδος.

(Μαξίμου Συμαίου) «γραμματική· περὶ σχηματισμοῦ τῶν στοιχείων καὶ συλλαβῶν καὶ τῶν ὀκτὼ μερῶν τοῦ λόγου». Ἀρχ. «Γραμματική ἐστι τέχνη περὶ τὸν προφορικὸν λόγον καταγινομενη» κτλ.

200. Τεῦχος χαρτῷον (0,23 × 0,165) ἐκ σελίδων 118+40, γραφὲν τελευτώσης τῆς ΙΗ' ἑκατονταετηρίδος. Τὰ τεύχη 197—200 ἐγράφησαν ὑπὸ μιᾶς χειρός.

1. (Μαξίμου Συμαίου) «Περὶ διαλέκτων ὅρος: διάλεκτός ἐστι γλώττης ἰδίωμα, ἢ διάλεκτός ἐστι λέξις ἴδιον χαρακτῆρα τύπου ἐπιφαίνουσα» κτλ., σελ. 1—118. Παρέπονται πέντε φύλλα ἀλφαβητικοῦ καὶ ἀναλυτικοῦ πίνακος.

2. (Μαξίμου Συμαίου?) στοιχεῖα ῥητορικῆς τέχνης. «Περὶ τόπων τῶν πίστεων.—Οἱ τόποι ἀφ' ὧν τὰ ἐπιχειρήματα λαμβάνονται», σελ. 1—40. Παρέπεται ἀλφαβητικὸς πίναξ ἐν δυσὶ φύλλοις.

201. Τεῦχος χαρτῷον (0,222 × 0,165) ἐκ 200 φύλλων, γραφὲν τελευτώσης τῆς ΙΗ' ἑκατονταετηρίδος. Καθ' ἑκάστην σελίδα 25 στίχοι (0,17 × 0,11).

«Ἑρμηνεία εἰς τὸ τέταρτον τῶν εἰς τέσσαρα τῆς γραμματικῆς Θεοδώρου Γαζῆ, φιλοπονηθεῖσα χάριν τῶν φιλομαθῶν παρὰ Δανιὴλ μοναχοῦ Κεραμέως τοῦ Πατμίου». Ἀρχ. «Ἐπιβαλλομένῳ τὸ τέταρτον ἀναπτῦξαι» κτλ. Ἐξεδόθη τὸ πρῶτον Ἑνετίησιν ἔτει 1780.

202. Τεῦχος χαρτῷον (0,223 × 0,162) ἐκ σελίδων 190 καὶ ἑπτὰ ἀσελιδώτων φύλλων, ἅτινα προσετέθησαν ἐν ἀρχῇ περιλαβόντα «παράκλησιν τοῦ τιμίου σταυροῦ ψαλλομένην κατὰ πᾶσαν πέμπτην ἑσπέρας, ἐξαιρέτως δὲ ἀπὸ τὴν α' σεπτεμβρίου ἄχρι τῆς ιδ' τῆς ὑψώσεως». Ἀρχ. «Τῷ ζωηφόρῳ νῦν σταυρῷ» κτλ.

«Βίος κατ' ἐπιτομὴν τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νείλου τοῦ Ἀθωνίτου καὶ μυροβλύτου, καὶ ἀκολούθως ἐν συντόμῳ διήγησις ἐκ τῶν αὐτοῦ κατὰ τὴν ἡμετέραν γενεὰν τελεσθέντων ἐξαισίων θαυμάτων καὶ προφητειῶν, ὧν αὐτὸς δι' ἑαυτοῦ ἐν σχήματι πνευματικοῦ τινος Ματθαίου ἱερομονάχου ἐμφανισθεὶς τῷ τλήμονι μοναχῷ Θεοφάνει, τῷ ἐσύστερον διὰ προσταγῆς αὐτοῦ τοῦ ἁγίου μετονομασθέντι Αἰχμαλώτῳ διὰ τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος, ὡμίλησέ τε καὶ προεφήτευσε περὶ τῆς τοῦ ἁγιωνύμου ὄρους τοῦ Ἄθωνος καταχρήσεως τῆς μοναδικῆς πολιτείας καὶ τῆς ἐπενεχθείσης αὐτῷ δι' αὐτῆς καταδρομῆς καὶ μετὰ ταῦτα καταστρο-

φῆς, πρὸς δὲ καὶ περὶ τῆς εὐσεβείας τῶν χριστιανῶν εἰς τὸ χεῖρον καταντήσεως ἄχρι πέμπτης εἰκοσιπεντάδος, καθ' ἣν ἡ ὀγδόη σύνοδος συγκροτηθεῖσα ὀλίγον ἐπιστρέψει ἡ εὐσέβεια πρὸς τὴν πρώτην αὐτῆς στάσιν, καὶ αὖθις ἐπὶ τὸ χεῖρον κατ.ντήσει ἕως καὶ ἡ συντέλεια τοῦ αἰῶνος ἀθρόον ἐπέλθη» κτλ. Ἀρχ. «Ὁ μακάριος καὶ ἀοίδιμος πατὴρ ἡμῶν Νεῖλος ἤκμασε κατὰ τὸ χιλιοστὸν ἑξακοσιοστὸν» κτλ. Ἐν τέλει· «,αωλςῳ μαρτίου. Μέμνησθε Ἰακώβου ἁμαρτωλοῦ ἀμονάχου». Προτάσσονται τοῦ βίου 33 στίχοι, ὧν ἡ ἀρχή· «Βίβλος ψυχωφελέστατος Νείλου» κτλ. Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ 12 νοεμβρίου κατὰ τὸν συναξαριστὴν Νικοδήμου, νεώτατον δὲ ἀντίγραφον ἀκολουθίας ὁρίζει αὐτὴν τῇ 7 μαΐου [1].

203. Τεῦχος χαρτῷον (0,232 × 0,162) ἐκ φύλλων 266, ὧν προυτάχθη τὸ πρωτότυπον ἐπιστολῆς πρὸς τὴν ἱερὰν σύνοδον Ἱεροσολύμων.

1. «Ἀντίγραφα διαφόρων ἐπιστολῶν σχεδιασθεισῶν παρ' ἐμοῦ Ἀνθίμου μοναχοῦ» τοῦ ἐξ Ἀγχιάλου. Ἀρχ. «Πρὸς τὸν ἀρχιμανδρίτην Καισάριον ἀπὸ μέρους μου. Ὡς οὐκ ἄμουσος οὐδ' ἀφυὴς» κτλ. Ἐπιστολαὶ ἰδιωτικαί τε καὶ ἐπίσημοι πρὸς διαφόρους μέχρις ἔτους 1836, φ. 1—188.

2. «Πόνημα ἐν συνόψει περὶ φύσεως ἀνθρώπου, ἐξερανισθὲν καὶ συντεθὲν παρὰ Μελετίου μοναχοῦ ἐκ τῶν τῆς ἐκκλησίας ἐνδόξων καὶ τῶν ἔξω λογάδων τε καὶ φιλοσόφων». Ἀρχ. «Τὰ περὶ τῆς τοῦ ἀνθρώπου κατασκευῆς» κτλ., φ. 189 κέ.

204. Τεῦχος χαρτῷον (0,207 × 0,163) ἐκ φύλλων 91, γραφὲν ἀρχομένης τῆς ΙΗ' ἑκατονταετηρίδος.

1. «Βίος τοῦ ἁγίου ἱερομάρτυρος Κλήμεντος ἐπισκόπου Ῥώμης, μαθητοῦ τοῦ ἁγίου ἀποστόλου Πέτρου». Ἀρχ. «Κλήμης Ἰακώβῳ τῷ κυρίῳ», φ. 1.

2. «Κεφάλαια (τριάκοντα) ἐρωτήσεων, τὰ ὁποῖα ἐδόθησαν να

[1] Σ. Λάμπρου, Κατάλογος τῶν ἐν ταῖς βιβλιοθ. τοῦ ἁγίου ὄρους ἑλλ. κωδίκων τ. 1, σ. 51. Ἀντίγραφον τοῦ ἐκτενοῦς βίου σημειοῦται ἐν σελ. 158, ἀριθ. 11 τῆς βιβλιοθήκης Ξενοφῶντος.

τὰ λύσῃ ὁ ἅγιος Γάζης καὶ νὰ δώκῃ τελείαν ἀπόκρισιν καὶ ἀπόφασιν». Ἀρχ. «Πρόλογος. Ἰωάννου κεφ. ια' " εἶπεν ὁ Κύριος ἐγώ εἰμι " κτλ. Χριστομιμήτως γοῦν ἀποκρίσου μας ὡσὰν κῆρυξ τῆς ἀληθείας εἰς κάποια ἐδικά μας προβλήματα, τὰ ὁποῖα σκοτινάζουσι τὰ μάτια τοῦ νοός μας, καὶ θέλεις ἔχεις μισθὸν ἀπὸ τὸν μισθαποδότην Θεὸν καὶ ἔπαινον ἀπὸ τῶν φιλοχρίστων ἀνθρώπων, διότι· ὁ ἀποστρέψας ψυχὴν ἀπὸ πλάνην σωτὴρ ὀνομάζεται. — Ἀπόκρισις.—Ἂν καλὰ καὶ ἡ ἀλήθεια λέγεται μαλότρια» κτλ. Αἱ ἐρωτήσεις γενόμεναι ἀπὸ Μόσχας πρὸς τὸν Γάζης Παΐσιον Λιγαρίδην ἀναφέρονται εἰς τὰς ἀμφισβητουμένας καὶ ἐπικρινομένας ἐκεῖσε καινοτομίας Νίκωνος τοῦ πατριάρχου Μοσχοβίας. Προτέτακται δὲ τῆς βίβλου ἡ ἑξῆς ἐπιστολὴ τοῦ συγγραφέως. «Τῷ ἐκλαμπροτάτῳ ἐν ἄρχουσι μεγαλοπρεπεστάτῳ καὶ πανυπερτίμῳ κυρίῳ κυρίῳ Συμεῶνι τοῦ Λουκιανοβίτζη εὖ πράττειν. Ἰδοὺ ἱδρῶτι περιρρεόμενος ὁποῦ στέλνω τὰ κεφάλαια τῶν ἐρωταποκρίσεων πρὸς τὴν ὑψηλοτάτην σου ἐκλαμπρότητα. Μαρτύρομαι τὴν πάντων ἔφορον ἀλήθειαν πῶς δὲν ἤθελα διὰ τὴν γλωσσοφαγίαν τῶν ἀνθρώπων νὰ τὰ ἐπιχειρισθῶ, ἠξεύρωντας ὅτι ἔχω νὰ ἐχθρευθῶ ὁλοφάνερα μὲ τὸν πατριάρχην· ἀμὴ διατὶ ἐμαθητεύθηκα ἀπὸ τὸν ἀρχιδιδάσκαλόν μου ἱεροσολυμίτην Χριστὸν νὰ κηρύττω τὴν ἀλήθειαν καὶ ἐπὶ δωμάτων καὶ εἰς τοὺς ἄμβωνας, ἀποφάσισα νὰ δώκω σύντομον τὴν ἀπόκρισιν, ὡς καθὼς ἦτον κομψὰ καὶ σύντομα καὶ τὰ προβλήματα. Πικραίνομαι πῶς δὲν ἠξεύρω τὴν ῥουσικὴν σας διάλεκτον νὰ τὰ ἐξηγήσω καθὼς ἐπεθύμουν, διατὶ οἱ μεταφραστάδες τὰ ὅσα δὲν γροικοῦσι τὰ κάμνουσι κρεμαστάρια ἢ τὰ μεταγλωττίζουν κατὰ τὴν ἐδικήν των γνώμην καὶ βούλησιν, περιπέττοντες τὴν ἐνδόμυχόν των ἀμάθειαν. Δέομαι γοῦν νὰ ἐπιμεληθῇ νὰ μεταφραστοῦν πρῶτον εἰς γλῶσσαν ῥουσικήν, ἔπειτα καὶ εἰς λατινικήν, διὰ νὰ ἰδῶ καὶ νὰ καταλάβω καὶ ἐγὼ τῶν ἑρμηνευτῶν σας τὴν ἑρμηνείαν πῶς τὴν ἐξορθώνουν· διατὶ καὶ ἡ κραταιὰ καὶ μεγάλη βασιλεία χρειάζεται νὰ ἔχῃ τοιούτους ὁποῦ νὰ μεταδίδουν τὰ νοήματα τῶν ἀλλωνῶν διαλέκτων ὀρθὰ καὶ ἀπαράλλακτα, διὰ νὰ κάμῃ κρίσιν εἰς τὰ λεγόμενα καὶ γραφόμενα μὲ ἐμπιστοσύνην· καὶ τόσον ἀρ-

λεῖ διὰ τῆς ὥρας. Ὁ κύριος δὲ ὁ Θεὸς νὰ πολυετῆ τὴν ἐκλαμπροτάτην σου ὑψηλότητα εἰς χρόνους πολλοὺς καὶ εὐημερημένους, καὶ νὰ ἐπιτύχῃς τὰ σωτηριώδη καὶ ἀγαθά σου αἰτήματα. Ἐρρωμένος διαβιῴης, ἀνδρῶν ἄριστε καὶ γεννάδα ἐν ἄρχουσιν. Ἀπὸ θεογονίας ,αχξβ', αὐγούστου ιε'. Τῆς σῆς περιφανεστάτης μεγαλοπρεπείας ὁ σὸς κατὰ πάντα καὶ διὰ πάντα, ὁ Λιγαρείδης».

205. Τεῦχος χαρτῷον (0,207×0,152) ἐκ φύλλων 126, γραφὲν ἔτει 1692. Καθ' ἑκάστην σελίδα 20 στίχοι (0,132×0,083). Γραφὴ ἐπιμελής. Ἔσωθεν τῆς πρώτης πινακίδος ἡ ἑξῆς σημείωσις, ἧς παραλείπονται ὧδε αἱ ἀνορθογραφίαι· «1716 † ἀγόρασα ἐγὼ Μακάριος ἱερομόναχος ἁγιοταφίτης ἀπὸ τὸν παπὰ κῦρ Παΐσιον τὸν Σιναΐτη αὐτὸ τὸ πατερικὸ ἐκ Πελοποννήσου ἐκ χώρας Δημιτζάνα· τανῦν Παϊσίου ἁγιοταφίτου ἐκ πόλεως Βάρνης τάχα καὶ πρωτοσυγκέλλου, 1736 μαρτίου 16».

1. Βίος καὶ ἄθλησις τῆς ἁγίας Αἰκατερίνης κατὰ παράφρασιν Ἀγαπίου Λάνδου. Ἀρχ. «Μὲ τὴν ἐλπίδα τῆς ἐαρινῆς εἰσοδίας», φ. 1. Παραδείσου σ. 160, ἐκδ. 1855. Εἰς φ. 31· «,αχηβ' μαΐου κγ' τέλος ἔλαβε ὑπὸ τληπαθοῦς Ματθαίου ἱερομονάχου».

2. Θεοδώρου Στουδίτου κατηχήσεις παραπεφρασμέναι ὀκτὼ καὶ εἴκοσιν, ὧν ἡ μὲν πρώτη «περὶ τοῦ φυλάττειν τὰς θείας ἐντολὰς καὶ τῆς δικαίας ἀπειλῆς τοῦ Κυρίου», ἡ δὲ τελευταία «περὶ τῶν παθημάτων τοῦ Κυρίου», φ. 33—124.

3. Ἰωάννου Χρυσοστόμου λόγος τῇ κυριακῇ τοῦ πάσχα. Ἀρχ. «Εἴ τις εὐσεβὴς καὶ φιλόθεος», φ. 125.

206. Τεῦχος χαρτῷον (0,21×0,145) ἐκ φύλλων 208, γραφὲν περὶ τὸ τέλος τῆς ΙΖ' ἑκατ. Καθ' ἑκάστην σελίδα 18 στίχοι (0,16×0,9). Ἦν δὲ πρότερον κτῆμα Συμεὼν Βηθλεεμίτου, ὅπερ ἐδωρήσατο οὗτος Παϊσίῳ καθηγουμένῳ τῆς ἁγίας Βηθλεέμ.

1. Ἀνωνύμου «λόγος περὶ μετανοίας καὶ ἐξομολογήσεως». Ἀρχ. «Μέγα τίποτες εἶναι», φ. 1.

2. Λόγος εἰς τὴν ἀνακομιδὴν τῆς ἁγίας δεξιᾶς χειρὸς τοῦ τιμίου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου». Ἀρχ. «Ἰδοὺ καὶ πάλιν ἡμῖν ὁ ἱερὸς», φ. 4[3].

3. Ἀκέφαλος βίος τῆς ἁγίας Μαρίνης ἐν παραφράσει, φ. 8.

4. «Ἡ εὕρεσις τοῦ τιμίου σταυροῦ καὶ τὰ ἅγια καρφία». Ἀρχ. «Μετὰ τριακοσίους χρόνους τοῦ πάθους», φ. 15β.

5. Μαρτύριον τοῦ ἁγίου Παντελεήμονος ἐν παραφράσει. Ἀρχ. «Αἱ ἑορταὶ καὶ αἱ πανηγύρεις», φ. 29.

6. Βίος καὶ πολιτεία τοῦ ὁσίου Ἰωάννου τοῦ Καλυβίτου ἐν παραφράσει. Ἀρχ. «Βίον καλὸν καὶ ἀμόλυντον», φ. 61β.

7. «Διήγησις ὠφέλιμος ἐκ τῆς βίβλου τῆς καλουμένης Μελίσσης, φρικτὴ καὶ παράδοξος περὶ ἀναξίων ἱερέων». Ἀρχ. «Ἐν ταῖς ἡμέραις τῆς βασιλείας», φ. 77β.

8. Βίος καὶ πολιτεία τοῦ ὁσίου Φιλαρέτου ἐν παραφράσει. Ἀρχ. «Βίον ἀρεστὸν τοῦ Θεοῦ», φ. 82β.

9. Βίος καὶ πολιτεία τοῦ ὁσίου Ξενοφῶντος ἐν παραφράσει. Ἀρχ. «Διηγήσατό τις ἅγιος», φ. 114β.

10. Βίος καὶ πολιτεία τοῦ ὁσίου Ἀλεξίου. Ἀρχ. «Εἰς τὸ κάστρον τῆς Ῥώμης», φ. 132.

11. «Θεοφάνους μοναχοῦ τοῦ νέου καὶ φιλοσόφου πεζὴ φράσις καὶ διδακτικοὶ λόγοι εἰς τὸν δεκάλογον τοῦ προφήτου Μωυσέως, εἰς πᾶσαν χριστιανὸν ἀπὸ τοῦ εὐαγγελίου, ἀπὸ τοὺς ἀποστόλους, ἀπὸ τοὺς προφήτας καὶ ἀπὸ πᾶσα χαρτὶ τῆς ἐκκλησίας· καὶ πρέπον εἶναι νὰ διαβάζεται». Ἀρχ. «Δέκα παραγγελίαις μεγάλαις», φ. 142.

12. Ἰωάννου Σχολαστικοῦ «περὶ τῶν ἀνεκφράστων λογισμῶν τῆς βλασφημίας» ἐν παραφράσει. Ἀρχ. «Ἐγροικήσαμεν εἰς τὰ περασμένα», φ. 161β.

13. «Ἱστορία καὶ σύγγραμμα κῦρ Συμεὼν μαΐστρου καὶ λογοθέτου περὶ τοῦ (περι)καλλοῦς ναοῦ τῆς τοῦ Θεοῦ Λόγου ἁγίας Σοφίας». Ἀρχ. «Κωνσταντῖνος ὁ μέγας ἐβασίλευσεν», φ. 189.

207. Τεῦχος χαρτῷον (0,205×0,155) γραφὲν μεσούσης τῆς ΙΖ' ἑκατ. Καθ' ἑκάστην σελίδα 25 στίχοι (0,145×0,95).

Ἀνωνύμου «εἰς τὰ τοῦ φιλοσόφου περὶ φυσικῆς ἀκροάσεως ὑπομνήματα». Ἀρχ. «Συντομίας χάριν ἢ χαίρω» κτλ., σελίδες 289, μεθ' ἃς φύλλα ἕνδεκα σεληνοδρόμιον περιλαμβάνον-

τα καὶ «προγνωστικὸν τοῦ Ἀριστοτέλους, πότε γίνεται ἄνεμος ἢ βροχή».

208. Τεῦχος χαρτῷον (0,203×0,16) ἐκ φύλλων 204, γραφὲν ἔτει 1599. Καθ' ἑκάστην σελίδα 22 στίχοι (0,14×0,095).

1. Δαμασκηνοῦ Στουδίτου φυσιολόγος, οὗ προτάσσονται α') ἐπίγραμμα εἰς Μιχαὴλ Κανταχουζηνὸν δεκάστιχον, οὗ ἡ ἀρχή· «Ἔγρεο Κωνσταντῖνε» κτλ. β') ἐπιστολὴ ἀφιερωτικὴ τῷ αὐτῷ· γ') πίναξ κεφαλαίων η'. — Ἀρχ. «Ἐκ φυσιολογικῶν περὶ ζώων. Περὶ ἀετοῦ κεφ. α'. Ὁ ἀετὸς εἶναι μὲν βασιλεὺς εἰς ὅλα τὰ πετώμενα» κτλ. Ἐν τέλει τοῦ φυσιολόγου· «+ Θεοῦ τὸ δῶρον | καὶ Πορφυρίου πόνος | ἐλαχίστου τε | τοῦ ἱεροδιακόνου. + ἀπριλλίῳ δῳ, ,ζω ρω ζω + 1599 + ἰνδικτιῶνος ιβης», φ. 1—68.

2. Ἀνωνύμου ἐπιστολὴ πρὸς Σωφρόνιον μητροπολίτην Νικαίας, φ. 69β καὶ 199β.

3. «Ἀνακεφαλαίωσις τῆς παρούσης πραγματείας· αὕτη πρῶτον μὲν ἡ Περζωὲ ἀποστολὴ πρὸς Ἰνδίαν καὶ διάγνωσις τῶν ἐκεῖσε, ἔπειτα ἰνδικὴ βίβλος ἣν ἐκόμισεν ἐξ Ἰνδίας δύο μὲν ἔχουσα πραγματείας: μία μὲν ἡ τοῦ Στεφανίτου καὶ Ἰχνηλάτου, ἑτέρα δὲ ἡ περιτράχηλος περιστερὰ καὶ ὅσα περιέχουσιν ἀμφότερα τροπικα μυθεύματα». Ἀρχ. «Χοσρόης ὁ τῶν Περσῶν βασιλεὺς μαθὼν περί τινος βιβλίου», φ. 71—199. Ἐν τέλει τὸ ἔτος «1599».

4. «Ἐκ τοῦ Αἰσώπου μῦθοι» ἔμμετροι εἰς νεοελληνικὴν γλῶσσαν, προστεθέντες κατὰ τὸν ΙΖ' αἰῶνα, φ. 202β—204.

209. Τεῦχος χαρτῷον (0,205×0,155) τῆς ΙΖ' ἑκατ. ἐκ φύλλων 181. Κείμενον δίστηλον καθ' ἑκάστην σελίδα ἐξ 21 στίχων. Τὰ φύλλα 147β—149 ἄγραφα.

1. (Νικολάου ἱερέως) ἑρμηνεία τῆς Ἐξόδου ἐμμέτρως. Ἀρχ. «Ὁ νόμος τὸ σάββατον δέδωκεν, ἵνα ἀναπαύσηταί φησι τὸ ὑποζύγιόν μου καὶ ὁ παῖς σου: — Ταῦτ' αἰνίττονται τὸ σῶμα καὶ ἀμφότερα· νοῦς γὰρ πρακτικοῦ αὐτὸ μὲν ἔστιν ὑποζύγιον» κτλ., φ. 1.

2. «Περὶ τῶν ἐν πίστει κεκοιμημένων, ὅπως αἱ ὑπὲρ αὐτῶν γινόμεναι λειτουργίαι καὶ εὐποιίαι τούτοις ὀνίνησιν. Νικολάου ταπεινοῦ ἱερέως πόνημα ἐκ τῶν Ἰωάννου τοῦ ἁγίου Δαμασκηνοῦ καὶ

λοιπῶν ἁγίων συναθροισθέν». Ἔμμετρον. Ἀρχ. «Ἐχθρὸς μὲν ὁ παλαμναῖος | οὐκ ἠρκέσθη διαφθείρων | ἀτοπήμασι τοσούτοις | εἰς ἀεὶ τὸ ἡμῶν γένος» κτλ., φ. 63β.

3. «Λόγος διὰ στίχων ὀκτασυλλάβων εἰς τὴν ἔνσαρκον οἰκονομίαν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ εἰς τὴν εἰς Ἅδου κάθοδον καὶ τὴν ἁγίαν ἀνάληψιν πολυτρόπως ἀποδεικνύς· τοῦ αὐτοῦ Νικολάου πόνημα». Ἀρχ. «Τῆς εὐκλείας τῶν ἁγίων | δόξης τε πνευματοφόρων | λόγος πᾶς ἐστι ἐλάσσων» κτλ., φ. 114.

4. (Νικολάου ἱερέως) «διατί τὰ τῆς ἐνσάρκου οἰκονομίας μὴ κατὰ τοὺς πρόσθεν χρόνους ἀλλ' ἐν ἐσχάτοις ἐγένετο». Ἀρχ. «Ἐπ' ἐσχάτων δὴ τῶν χρόνων | Θεὸς Λόγος ὁ παντάναξ | ἐνηνθρώπησεν εὐλόγως | ἐπ' ἀνθρώπων σωτηρίᾳ» κτλ., φ. 150.

5. «Ἔπη δι' ὧν παροξυνόμεθα πρὸς τὸν ἐν Χριστῷ βίον». Ἀρχ. «Παντοκράτορ καὶ δέσποτα ὅς ποτε» κτλ., φ. 159.

6. «Ὕμνος εἰς Χριστόν». Ἀρχ. «Τοῦ παντάνακτος λόγε πατροφαὲς», φ. 161β.

7. «Ὑποθῆκαι παρθένοις». Ἀρχ. «Παρθενίη σὺ νύμφη σεμνὴ Χριστοῦ», φ. 162.

8. «Περὶ τῶν τοῦ βίου ὁδῶν». Ἀρχ. «Τίς καὶ πόθεν εἰς βίον ἦλθον», φ. 163. Πρβλ. Migne τ. 37, σ. 778.

9. (Νικολάου ἱερέως) ἀνεπίγραφον, οὗ ἡ ἀρχή· «Οἱ σοφοὶ παρόντα κόσμον | φασὶν εἴδωλον αἰῶνος», φ. 165.

10. «Παραγγελίαι ἐκ χρησμῶν συλλεξάμεναι χαλδαϊκῶν περὶ ὑλῶν καὶ φωνῶν καὶ σχημάτων». Ἀρχ. «Φησὶν οὖν ὁ Ἑκάτης χρησμὸς περὶ ὑλῶν», φ. 173.

11. (Νικολάου ἱερέως) «περὶ τῶν τριῶν χρηστηρίων». Ἀρχ. «Περὶ μὲν τὴν τῆς Συρίας | Ἀντιόχειαν πηγή τις | ἔστιν, ἥτις Κασταλία» κτλ., φ. 174β.

12. (Νικολάου ἱερέως) «περὶ ἐνυπνίων καὶ ὀνείρων» Ἀρχ. «Τὰ παρὰ τοῖς φιλοσόφοις | παλαιοῖς συντεθειμένα | τοῖς καθ' ὕπνους φαινομένοις | πέντε τούτων φασὶν εἴδη» κτλ., φ. 176. Τέλος· «εἰ μὴ γὰρ ἐκ φαντασίας | ἡ διάνοια προσλάβοι | σκέμματα περὶ τὴν φύσιν | γεννητὴν τερπνὴν πραγμάτων, | οὐδαμῶς τι

ἐνεργήσοι». Παρέπεται σημείωσις εἰς πεζὸν λόγον περὶ τοῦ παθητικοῦ τῆς ψυχῆς. Ἀρχ. «Τῆς ψυχῆς ὅσον πρὸς λόγον καὶ νοῦν ἀφορᾷ», φ. 180β—181.

210. Τεῦχος χαρτῷον (0,207×0,15) ἐκ φύλλων 180, γραφὲν ἔτει 1507. Γραφὴ ἐπιμελής. Κείμενον ἐξ 26 στίχων καθ' ἑκάστην σελίδα (0,14 × 0,082). Σημειώσεις τοῦ ιη' αἰῶνος ἐν τοῖς μετωπίοις τῆς πρώτης σελίδος· «ἐκ τῶν τοῦ Φιλοθέου ἱερομονάμου Κανάκιος», «ἐκ τῶν τοῦ ἁμαρτωλοῦ Ἐφραὶμ καὶ τόδε πρὸς τοῖς ἄλλοις», τοῦ Ἀθηναίου. Καὶ ἐν φ. 128β σημείωσις τοῦ ις' αἰῶνος· «τὸ παρὸν βιβλίον ὑπάρχει κἀμοῦ οἰκτροῦ Βενιαμὶν τοῦ Κυπρίου».

1. «Ἐπιμερισμοὶ σὺν θεῷ τοῦ Ψαλτηρίου ἀπὸ φωνῆς Γεωργίου διδασκάλου τὸ ἐπίκλην Χοιροβοσκοῦ». Ἀρχ. «Ψαλμὸς ὄνομα ἁπλοῦν», φ. 1. Ἐν τέλει· «͵αφθ', ἰνδικτιῶνος ιδ' ἐν Ῥόδῳ». Ἐξεδόθησαν ὑπὸ Gaisford, Choerobosci dictata in Theodosii canones, necnon epimerismi in Psalmos (Oxford, 1842) τ. III, σ. 1 κέ.

2. «Περὶ τῶν τριῶν σχημάτων τῶν συλλογισμῶν· Γεωργίου τοῦ Χοιροβοσκοῦ, ὥς τινες λέγουσιν». Ἀρχ. «Τῆς συνέψεως τῶν συλλογισμῶν στοχαζόμενοι», φ. 113.

3. «Ἐκ τῆς τοῦ Βαρλαὰμ βίβλου περὶ θεῶν τοῖς Ἕλλησιν εἰσαγομένων». Ἀρχ. «Πρῶτος μὲν τοῖς Ἕλλησι θεὸς παρεισάγεται Κρόνος», φ. 127.

4. «Συνοπτικὸν σύνταγμα φιλοσοφίας Γρηγορίῳ πονηθὲν τοῖς φιλομαθέσι τῶν εὐσεβῶν. Ἀρίστη σύνοψις εἰς ἅπασαν τὴν λογικὴν πραγματείαν». Ἀρχ. «Ὥσπερ οἱ ἀναγινώσκοντες», φ. 129.

5. «Ἐξήγησις τοῦ φιλοσοφωτάτου Φιλοπόνου εἰς τὸ (cod. φιλοπονήσου) τοῦ Πορφυρίου περὶ τῶν ε' φωνῶν». Ἀρχ. «Καὶ τὸ πρὸς ὠφέλειαν μὴ μόνον τῶν οἰκείων μαθημάτων», φ. 153—108. Τὸ φύλλον 162 ἀφέθη ἄγραφον διὰ τὸ ἐλλιπές, ὡς φαίνεται, τοῦ πρωτοτύπου κώδικος.

211. Τεῦχος χαρτῷον (0,20×0,155) τῆς ΙΗ' ἑκατ. ἐκ φύλλων 136. Ἐν ἀρχῇ σημείωσις· «καὶ τόδε Σεραφεὶμ ἱεροδιακόνου Ἰβηρίτου»· εἶτα· «αὕτη ἠγοράσθη ἐξ ἐμοῦ Φιλοθέου ἱερομονάχου

Ἰωαννίτου καὶ πρωτοσυγκέλλου τοῦ ἁγίου τάφου». Τὰ φ. 125—136 ἐγράφησαν περὶ τὴν ἀρχὴν τοῦ ιζ' αἰῶνος.

1. «Ἀλεξάνδρου ἑρμηνέως τοῦ Βυζαντίου, περὶ γραμματικῆς συντάξεως κατὰ τὰ ὀκτὼ μέρη τοῦ λόγου». Ἀρχ. «Χρώμεθα τοῖς προτακτικοῖς ἄρθροις», φ. 1—64.

2. «Τοῦ πανσεβάστου καὶ κριτοῦ Θεσσαλονίκης τοῦ Ἀρμενοπούλου λεξικὸν κατὰ στοιχεῖον περιέχον τὰ κοινῶς γραφόμενα ῥήματα, ἐν ᾧ δείκνυται τίνα μὲν αὐτῶν ἀμετάβατα, τίνα δὲ μεταβατικά, καὶ τούτων τίνι συντάσσεται ἕκαστον καὶ τί δηλοῖ καὶ μετὰ πόσων προθέσεων συνάπτεται. Ἐφ' ἑνὶ ἑκάστῳ στοιχείῳ πρῶτον μὲν κεῖνται τὰ ἀμετάβατα ῥήματα, μετὰ δὲ ταῦτα τὰ μεταβαίνοντα εἰς γενικήν, καὶ καθ' ἑξῆς δὲ τὰ εἰς δοτικὴν καὶ αἰτιατικήν, καὶ οὕτω συμπληροῦνται τὰ εἴκοσι τέσσαρα στοιχεῖα». Ἀρχ. «Ἀρχὴ τοῦ α: τὰ ἀμετάβατα: ἀγάλλομαι τὸ χαίρω, ἀγάλλω δὲ τὸ τιμῶ» κτλ., φ. 65—118.

3. «Ἐπιγράμματα εἰς τοὺς δώδεκα μῆνας, ἀρχόμενα ἀπὸ σεπτεμβρίου». Ἀρχ. «Βρίθω ἐγὼ σταφυλῇ», φ. 118β—119α.

4. «Περὶ μέτρων». Ἀρχ. «Τρία εἰσὶν ἐκ τῶν πολλῶν μέτρα, ἃ οἱ νῦν ὄντες διδάσκαλοι χρῶνται», φ. 119β—122.

5. «Ἐγχειρίδιον περὶ τῶν ἑπτὰ φωνηέντων ποῦ δασύνονται καὶ ποῦ ψιλοῦνται». Ἀρχ. «Βούλομαι φίλε πρὸς μικρὸν ὧδέ σοι σαφηνίσαι», φ. 125—128α. Ὅρα τὸ ἐμὸν ἄρθρον notice et collation κτλ. ἐν τῷ annuaire de l'association κτλ. 1876, σ. 122. Ὁλόκληρον δὲ τὸ κείμενον κατὰ κώδικα τῆς ἐν Καΐρῳ πατριαρχικῆς βιβλιοθήκης κατεχωρίσθη ἐν τῷ περιοδικῷ συγγράμματι «Κέκροψ» (ἐν Ἀλεξανδρείᾳ 1876) τ. I, σ. 194—199.

6. «Διδασκαλία πληροφορικὴ διδασκάλου πρὸς τὸν οἰκεῖον μαθητὴν ἀποσταλεῖσα εἰς μάθησιν τῶν ἀντιστοίχων». Ἀρχ. «Ἀπ' ἄρτι φίλε γράφω σοι», φ. 128β—129. Annuaire de l'association κτλ. 1876, σ. 128. Κέκροψ τ. I, σ. 199.

7. «Περὶ πνευμάτων κατὰ ἀλφάβητον». Ἀρχ. «Αἶ μὲν τὸ ἀΐδιον τὸ ὂν καὶ διαμένον», φ. 129—135.

8. «Ἐπιστολὴ διδασκάλου πρὸς τὸν αὐτοῦ μαθητὴν τὸν κα-

θοδηγούμενον ταύτας τὰς λέξεις». Ἀρχ. «Φίλε ἀρκεῖ σε ἐνταυθοῖ τὸ ὕφος τῶν γραφέντων», φ. 135β—136α. Annuaire 1876, σ. 127.

212. Τεῦχος χαρτῷον (0,203×0,145) ἐκ φύλλων 175, γραφὲν ὑπερμεσούσης τῆς ΙΖ' ἑκατ. Τὰ φ. 92—94 καὶ 164β—170 ἀφέθησαν ἄγραφα. Συνεδέθη δὲ τὸ βιβλίον ἔτει 1691 διὰ χειρὸς Σπυρίδωνος ἱερέως.

1. (Θεοφίλου Κορυδαλλέως) ἑρμηνεία τῶν περὶ ψυχῆς Ἀριστοτέλους. Ἀρχ. «Τὸ φυσιολογικὸν τῆς θεωρίας μέρος», φ. 1—56.

2. Ἀνωνύμου πέντε διαλέξεις «εἰς τὰ τοῦ Ἀριστοτέλους βιβλία περὶ οὐρανοῦ». Ἀρχ. «Διάλεξις α' περὶ τῆς φύσεως τοῦ οὐρανοῦ. Ζήτημα α', πότερον ὁ οὐρανὸς σῶμα» κτλ., φ. 57—91.

3. «Ἰωάννου γραμματικοῦ Ἀλεξανδρέως τοῦ Φιλοπόνου, περὶ τῆς τοῦ ἀστρολάβου χρήσεως». Ἀρχ. «Τὴν ἐν τῷ ἀστρολάβῳ τῆς ἐπιφανείας», φ. 95—108.

4. «Ἑτέρα μέθοδος ἀνωνύμου περὶ τοῦ ἀστρολάβου». Ἀρχ. «Εἰ βούλει γινώσκειν», φ. 108β—111.

5. «Τοῦ σοφωτάτου Κορυδαλλέως ὑπόμνημα περὶ ἀστρολογίας». Ἀρχ. «Πλάττει ταῖς Μούσαις ὁ φυσικὸς μῦθος», φ. 112—134.

6. «Τοῦ σοφωτάτου καὶ λογιωτάτου καὶ πασῶν τῶν ἐπιστημῶν διδασκάλου καὶ μεγάλου ῥήτορος τῆς μεγάλης ἐκκλησίας, ἰατροῦ τε ἀρίστου κυρίου Ἀλεξάνδρου τοῦ ἐκ Κωνσταντινουπόλεως (Μαυροκορδάτου), περὶ γραμματικῆς συντάξεως κατὰ τὰ ὀκτὼ μέρη τοῦ λόγου». Ἀρχ. «Χρώμεθα τοῖς προτακτικοῖς ἄρθροις», φ. 135 κέ.

213. Τεῦχος χαρτῷον (0,205×0,145) τῆς ις' ἑκατ. ἐκ φύλλων 659.—Θεοδώρου Προδρόμου «ἐξήγησις εἰς τοὺς ἐν ταῖς ἱεραῖς δεσποτικαῖς ἑορταῖς ἐκτεθέντας κανόνας παρὰ τῶν ἁγίων καὶ σοφῶν ποιητῶν Κοσμᾶ καὶ Ἰωάννου». Ἀρχ. «Ἔοικας ὦ ἄνθρωπε» κτλ.

214. Τεῦχος χαρτῷον (0,20×0,145) ἐκ φύλλων 176.

1. Στιχηράριον καί τινες ᾀσματικοὶ κανόνες ἀπὸ φ. 1—114, γραφέντες κατὰ τὴν ἐν τέλει σημείωσιν ἔτει 1674· «Χεὶρ Δα-

*

νιὴλ θύτου ͵αχοδʹ ἔτος, δεκεμβρίου ιεʹ». Ἀρχ. «Τῇ κυριακῇ ἑσπέρας εἰς τὸ "Κύριε ἐκέκραξα" στιχηρὰ κατανυκτικὰ δεσποτικά, ἦχος αʹ: Πανεύφημοι μάρτυρες.—Τὰ πάντα παρήγαγες τῷ σῷ λόγῳ» κτλ. Ἀπὸ φ. 80 «τῷ σαββάτῳ κανὼν εἰς πάντας ἁγίους, οὗ ἡ ἀκροστιχὶς "τῆς ὀκτωήχου τῆς νέας θεῖον τέλος". Ἀπὸ φ. 88 «κανὼν εἰς τὴν ὑπεραγίαν θεοτόκον», ἀπὸ φ. 96^β κανὼν εἰς τὴν κοίμησιν τῆς αὐτῆς κτλ. Τὰ φύλλα 114^β—132 ἀφέθησαν ἄγραφα.

2. «Βιβλίον τῆς ζωγραφικῆς τέχνης περιέχον τὰς ἑορτὰς τοῦ Χριστοῦ καὶ τῆς Θεοτόκου, ἔτι δὲ καὶ τὰ ὀνόματα τῶν προφητῶν καὶ τὰ ὑπ' αὐτῶν προφητευθέντα, καὶ τῶν ἀποστόλων καὶ τῶν λοιπῶν ἁγίων τὰς ἡλικίας καὶ τὰ εἴδη τῶν προσώπων αὐτῶν καὶ τῶν τριχῶν· πῶς δεῖ γράφειν αὐτοὺς καὶ ἕτερα πλεῖστα ἀναγκαῖα τῆς ζωγραφικῆς τέχνης καὶ ὠφέλιμα». Ἀρχ. «Περὶ τῆς γεννήσεως τοῦ Χριστοῦ. Ὁ προφήτης Ἀμμὼς εἶπε περὶ τῆς γεννήσεως τοῦ Χριστοῦ» κτλ., φ. 133—175^α. Ἐν τέλει· «ἐγράφη ἐν ἔτει ͵αχοδʹ, μηνὶ αὐγούστῳ κηʹ· χεὶρ Δανιὴλ θύτου». Ἐν φ. 175^β σημείωσις ἀνορθόγραφος λέγουσα· «1697 φεβρουαρίῳ 2 ἐλειτούργησεν μέσα εἰς τὸν ἅγιον τάφον (καὶ) ἔκαμε τὴν παρρησίαν τῆς ὑπαπαντῆς ὁ πανιερώτατος μητροπολίτης ἅγιος Τύρου καὶ ἱστοριογράφος κῦρ Ἰωάσαφ ὁ ἀπὸ Χαλεπίου, καὶ δεόμεθα τῇ σῇ πανιερότητι νὰ ἐνθυμᾶσαι καὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ εἰς τὰς ἁγίας σου προσευχὰς Μακαρίου θύτου τοῦ Ἀσπρομάλη». Ἐν φ. 176 ἀναγινώσκεται τύπος συγχωροχαρτίου.

215. Τεῦχος χαρτῷον (0,205×0,15) ἐκ φύλλων 260, γραφὲν περὶ τὸ τέλος τῆς ιςʹ ἑκατονταετηρίδος.

1. «Ἐπιγράμματα τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου ἐπιτάφια εἰς τὸν ἅγιον καὶ μέγαν Βασίλειον, διὰ στίχων ἡρωϊκῶν καὶ ἐλεγείων συντεθειμένα <συνταχθέντα καὶ> ἑρμηνευθέντα παρὰ Νικήτα φιλοσόφου τοῦ Παφλαγόνος δύο καὶ ιʹ, ἅπερ ἐπάνω τοῦ τάφου τοῦ μεγάλου Βασιλείου ὁ μέγας Γρηγόριος τέθεικεν». Ἀρχ. «Σῶμα δίχα ψυχῆς», φ. 1 κέ. Σχόλια ἐν τοῖς μετώποις καὶ μέσον τῶν στίχων.

2. «Τοῦ Χρυσοστόμου ὁμιλία νδ', ὅτι οὐ τὰ βιωτικὰ ἀλλὰ τὴν βασιλείαν τῶν οὐρανῶν δεῖ ἁρπάζειν». Ἀρχ. «Οἶδεν γὰρ οἶδε ταπεινὴν ψυχὴν», φ. 3.

3. Ἀνωνύμου τεμάχιον περὶ ψυχῆς κατὰ Πλάτωνα. Ἀρχ. «Πλάτων ὁ φιλόσοφος ἐν νόμοις φησὶν ἐλευθέραν εἶναι τὴν ψυχὴν» κτλ., φ. 4^{α}.

4. Ἀνωνύμου περὶ Ἑρμοῦ Τρισμεγίστου καὶ Θούλιδος. Ἀρχ. «Ἑρμῆς ὁ τρισμέγιστος οὗτος αἰγύπτιος σοφὸς», φ. 4^{β}.

5. Βασιλείου Καισαρείας ἐρωταποκρίσεις. Ἀρχ. «Ἡ πλεονεξία μέχρι τίνος κρίνεται; Ἀπόκρισις: ὅταν ὑπερβῇ τις τοῦ νομου τὸν ὅρον» κτλ., φ. 5.

6. Νείλου μοναχοῦ ἑρμηνεία εἰς τὸ ᾆσμα ᾀσμάτων. Ἀρχ. «Διατί λέγεται ᾆσμα» κτλ., φ. 7.

7. Ἀποσπάσματα Συμεὼν Θεσσαλονίκης, φ. 20^{β}.

8. Ἀθανασίου Ἀλεξανδρείας «πρὸς Ἀντίοχον περὶ πίστεως, ἀναγκαίων ζητημάτων τῶν ἐν ταῖς θείαις Γραφαῖς ἀπορουμένων καὶ παρὰ πᾶσι χριστιανοῖς ἀναγινώσκειν ὀφειλομένων». Ἀρχ. «Ἐρώτησις: τί ἐστι Θεός; ἀπόκρισις. Θεός ἐστιν οὐσία» κτλ., φ. 23.

9. Πίναξ ἑκατὸν κεφαλαίων τῆς ἑπομένης συγγραφῆς, φ. 62.

10. «Τῶν ἐν μονοτρόποις ἐλαχίστων Καλλίστου καὶ Ἰγνατίου τῶν Ξανθοπούλων, μέθοδος καὶ κανὼν σὺν θεῷ ἀκριβὴς καὶ παρὰ τῶν ἁγίων ἔχων τὰς μαρτυρίας περὶ τῶν αἱρουμένων ἡσύχως βιῶναι καὶ μοναχικῶς, περί τε ἀγωγῆς καὶ πολιτείας καὶ διαίτης αὐτῶν, καὶ περὶ τοῦ ὅσων ἡλίκων ἀγαθῶν πρόξενος ἡ ἡσυχία καθίσταται τοῖς λόγῳ μετιοῦσιν αὐτήν· διακέκριται δὲ ἡ παροῦσα τοῦ λόγου πραγματεία ἐν κεφαλαίοις ρ'· λέγεται δὲ ἡ ἐπωνυμία τῆς βίβλου "Παράδεισος", ὅτι ἐκ πάσης σχεδὸν τῆς θείας Γραφῆς ἐμπεριέχει τὰς μαρτυρίας. Τὸ τοῦ λόγου προοίμιον, ὅπερ καὶ πρώτου κεφαλαίου ἀριθμὸν κέκτηται, περὶ τῆς δι' ἁγίου πνεύματος τοῖς πιστοῖς ἐνυπαρχούσης θείας καὶ ὑπερφυοῦς δωρεᾶς τε καὶ χάριτος», φ. 62—147. Migne τ. 147, σ. 636 κέ.

11. «Ἀπὸ τοῦ πιττακίου τῶν ἁγίων καὶ μακαρίων πατέρων ἡμῶν, τοῦ πρὸς τὸν κῦρ Ἰωάσαφ τὸν ἔγκλειστον καὶ ἡσυχαστὴν

ἐν Παλαιστίνῃ ἐν τῇ μονῇ τοῦ ἁγίου Σάβα». Ἀρχ. «Ἐβουλόμεθα μὲν οὖν καὶ αἰσθητοῖς ὀφθαλμοῖς θεάσασθαί σοι καὶ στόμα σοι πρὸς στόμα λαλῆσαι», φ. 148.

12. «Τῶν αὐτῶν ἁγίων καὶ μακαρίων πατέρων ἡμῶν». Ἀρχ. «Πρῶτον πάντων ἄρχεται εἰς τὸ σῶμα τοῦ ἀγωνιζομένου», φ. 149.

13. «Περὶ τάξεως ἀρχαρίου καὶ κατηχήσεως πάνυ ἀναγκαιοτάτης, κοσμούσης τὰ ἤθη τοῦ ἀνθρώπου». Ἀρχ. «Αὕτη ἐστὶν ἡ τάξις ἡ σώφρων», φ. 150.

14. «Ἐκ τῆς βίβλου Πέτρου μοναχοῦ τοῦ Δαμασκηνοῦ». Ἀρχ. «Ἀρχὴ μὲν παντὸς ἀγαθοῦ», φ. 152.

15. «Περὶ κοινοβίων». Ἀρχ. «Οἱ τὸ μοναχικὸν καὶ ἅγιον σχῆμα φοροῦντες», φ. 163.

16. Διήγησις τοῦ ἀββᾶ Θεοδώρου τοῦ Βυζαντίου. Ἀρχ. «Διηγήσατο ἡμῖν ὁ ἀββᾶς Θεόδωρος ὁ Βυζαντὲς ὅτι ἐν Κωνσταντινουπόλει ὄντος μου νεωτέρου εἰκοσαετοῦς» κτλ., φ. 163β.

17. Ἀθανασίου Ἀλεξανδρείας «πρὸς τοὺς ἀποταξαμένους». Ἀρχ. «Ἀδελφέ μου, εἰ ἀπετάξω τῷ κόσμῳ», φ. 166β.

18. «Στεφάνου τοῦ Θηβαΐτου ἐντολαὶ τοῖς ἀποτασσομένοις». Ἀρχ. «Πρῶτον μὲν μὴ ἔχε κοινωνίαν μετὰ γυναικῶν», φ. 167.

19. «Νείλου μοναχοῦ εἰς μοναχοὺς ἡσυχάζοντας». Ἀρχ. «Μὴ μετὰ περισπωμένων συναυλίζου», φ. 168.

20. «Ἐκ τῶν παραγγελμάτων τῶν ἁγίων πατέρων ἡμῶν καὶ διδασκάλων». Ἀρχ. «Ἔχε τὸν νοῦν σου πάντοτε», φ. 169β.

21. «Ἐκ τοῦ γεροντικοῦ». Ἀρχ. «Ἀδελφὸς ἠρώτησέ τινα τῶν πατέρων περὶ τοῦ λογισμοῦ τῆς βλασφημίας», φ. 170β.

22. «Ἀντωνίου πατριάρχου Κωνσταντινουπόλεως προτροπὴ εἰς ἐξαγόρευσιν, ἐν ᾗ σαφέστατα τὸ ἐκ ταύτης ὠφέλιμον ἀποδέδεικται· ἐρρέθη δὲ πρὸς τοὺς μοναχοὺς τῶν Στουδίων». Ἀρχ. «Πατέρες καὶ ἀδελφοί, τῶν γνησίως ἐρώντων», φ. 173.

23. Βασιλείου Καισαρείας τρία ἀποσπάσματα. Ἀρχ. «Πολλοὺς τῶν ἀνθρώπων ἀκήκοα», φ. 177β.

24. Τοῦ ἀββᾶ Ἡσαΐου «λόγος εἰς τὸ πρόσεχε σεαυτῷ». Ἀρχ. «Πρόσεχε σεαυτῷ ἀκριβῶς», φ. 181.

25. Μαξίμου τοῦ ὁμολογητοῦ «λόγος ἀσκητικὸς κατὰ πεῦσιν καὶ ἀπόκρισιν». Ἀρχ. «Ἀδελφὸς ἠρώτησε γέροντα λέγων παρακαλῶ σε» κτλ., φ. 186. Migne τ. 90, σ. 912.

26. Τοῦ αὐτοῦ «λόγος περὶ τῆς κατὰ Θεὸν λύπης». Ἀρχ. «Χαίρω καὶ εὐφραίνομαι», φ. 207. Migne τ. 91, σ. 413.

27. «Ἐκ τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου ἐξήγησις Χρυσοστόμου». Ἀρχ. «Τὸ προσηνὲς καὶ λεῖον οὐ πανταχοῦ», φ. 211.

28. «Ἐκ τῆς δευτέρας ἐπιστολῆς τοῦ ἁγίου Μάρκου». Ἀρχ. «Τῶν ἀκουόντων τὸν λόγον τοῦ Θεοῦ», φ. 229β.

29. «Διδασκαλία τοῦ ἁγίου Θεοδώρου ἐπισκόπου Ἐδέσσης». Ἀρχ. «Οὐκ ἔδει με τὸν ἀσθενῆ καὶ ἀχρεῖον περὶ ψυχικῆς ὠφελείας ὑμῖν διαλέγεσθαι», φ. 229.

30. Ἰωάννου Χρυσοστόμου ἀπόσπασμα, οὗ ἡ ἀρχή· «Πᾶς ὁ κτείνας Κάϊν ἑπτὰ ἐκδικούμενα παραλύσει», φ. 232.

31. Ἀνωνύμου «στίχοι πρὸς μοναχοὺς» 33, ὧν ἡ ἀρχή· «Τί βρωμάτων σε τερπνότης ἐκθηλύνει», φ. 233.

34. Βασιλείου Καισαρείας ἀποσπάσματα (ἐκ τῶν ἀσκητικῶν πζ'—ριζ'), φ. 234.

35. Συμεὼν Θεσσαλονίκης ἀποσπάσματα, φ. 243.

36. Δωροθέου ἀββᾶ ἀποσπάσματα ἐκ τῶν τριῶν πρώτων λόγων, φ. 244.

37. Βασιλείου Καισαρείας «ὁμιλία πρὸς Χείλωνα ἴδιον μαθητήν». Ἀρχ. «Σωτηρίου πράγματος», φ. 246. Migne τ. 32, σ. 348.

38. Ἀνωνύμου «νομικόν», οὗ ἡ ἀρχή· «Ἐπειδή τινες εἰσὶν ἐν τῇ Κυριακῇ γόνυ κλίνοντες καὶ ἐν ταῖς πεντήκοντα ἡμέραις ὑπὲρ τοῦ πάντων» κτλ., φ. 251. Παρέπονται διηγήσεις ἀσκητῶν.

39. Βασιλείου Καισαρείας «περὶ ἀσκήσεως πῶς δεῖ κοσμεῖσθαι τὸν μοναχόν». Ἀρχ. «Δεῖ τὸν μοναχὸν πρὸ πάντων», φ. 254.

40. «Εὐχὴ ἐπὶ ἐξομολογουμένων», φ. 257.

41. Πίναξ τῶν ἑπτὰ μυστηρίων, τῶν ἀρετῶν, τῶν αἰσθήσεων καὶ τῶν ἑπτὰ ἁμαρτιῶν· ἕτερος παριστῶν τὴν διαίρεσιν τῶν ἑπτὰ θανασίμων ἁμαρτιῶν· ἕτερος ἐν σχήματι δένδρου παριστῶν

τὴν διαίρεσιν τῶν ἀρετῶν, φ. 258—259α. Παρέπονται ἐρωταποκρίσεις Βασιλείου Καισαρείας.

42. Γρηγορίου Ναζιανζηνοῦ «ἀλφάβητος παραινετικος πρὸς φιλόπονον παῖδα». Ἀρχ. «Ἄνω πτέρωσον», φ. 260. Ἰ. Σακκελίωνος, Πατμιακὴ βιβλιοθήκη (Ἀθήν. 1890), σ. 18.

216. Δύο χαρτῷα τεύχη ἀτάκτως συμπεπηγμένα.

α') Μαξίμου Μαργουνίου βιβλία τρία περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος. Φύλλα 1—126 καὶ 200—248. Ἔσωθεν τῆς πρώτης πινακίδος ἐκολλήθη τὸ πρῶτον φύλλον, ἐφ' οὗ ἀναγινώσκονται τὰ ἑξῆς δύο σημειώματα· «ἐκ τῶν τῆς βιβλιοθήκης Νικολάου Πετρονίκου Κερκυραίου»· «τὸ παρὸν Μαξίμου ἐλαχίστου ἱερομονάχου Μαργουνίου τοῦ Κρητός· βιβλία γ' περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος». Ἐν τέλει· «ἀντεγράφη μὲν τὸ παρὸν διὰ χειρὸς ἐμοῦ τοῦ ταπεινοῦ Δημητρίου τοῦ οἰκονόμου, προτροπῇ δὲ καὶ ἐπιδιορθώσει τελείᾳ (διὰ τῆς τοῦ πρωτοτύπου παραβολῆς) τοῦ λογιωτάτου διδασκάλου κυρίου Χριστοφόρου τοῦ Ἐμποροκωμήτου [1] ἔκ τινος χειρογράφου βιβλίου παλαιοῦ, γεγραμμένου κατὰ τὸ χιλιοστὸν ‚αφπγον ἔτος τὸ κοσμοσωτήριον, εὑρεθέντος ἐν τῇ βιβλιοθήκῃ τοῦ κὺρ Νικολάου Πετρονίκου Κερκυραίου. Κερκύρηθεν ‚αχ'ιθ' ἰανουαρίου ιε'». Ἀπὸ φ. 1 — 4 κατέστρωται ὁ πίναξ τῶν κεφαλαίων, ὃν ἐξέδωκεν ἐντεῦθεν λαβὼν ὁ Δημητρακόπουλος, Προσθ. καὶ διορθ. σ. 22—26. Εἰς φ. 5 ἐσημειώθησαν οἱ μνημονευόμενοι συγγραφεῖς, ἀπὸ δὲ φ. 7 — 10 ἀναγινώσκεται ἐπιστολὴ Μαργουνίου ἀφιερωτικὴ τῷ Κ/πόλεως πατριάρχῃ Ἱερεμίᾳ Β', ἧς ἡ ἀρχή· «Οὐδὲν ἀγάπης παρὰ χριστιανοῖς». Ταύτην δ' ἀπ' ἄλλου ἀντιγράφου ἐξέδωκα καταχωρίσας ἐν Ἑλλην. φιλολογ. Συλλόγῳ, τ. ΙΖ', σ. 66—68. Τὸ κείμενον λοιπὸν τοῦ συγγράμματος ἄρχεται ἀπὸ τοῦ 11 φύλλου, ἔνθα καὶ ἡ ἐπιγραφή· «Μαξίμου ἐλαχίστου ἱερομονάχου Μαργουνίου τοῦ Κρητὸς δογματικὸς λόγος πρῶτος περὶ τῆς τοῦ παναγίου Πνεύματος ἐκπορεύσεως. Βιβλίον πρῶτον, προοίμιον. Τίς

[1] Ὅρα περὶ αὐτοῦ Γ. Ζαβίρα νέας Ἑλλάδος σ. 545. Α. Δημητρακοπούλου ὀρθοδ. Ἑλλάδος σ. 175.

μὲν ἂν ἢ μέχρι τοῦ νῦν» κτλ. Καθ' ἑκάστην σελίδα 23 στίχοι (0,16×0,95).

β') Τὰ φύλλα 127 μέχρις 199 τοῦ ὅλου τεύχους περικλείουσιν ἰδιαίτερον βιβλίον γραφὲν ἀρχομένης τῆς ΙΗ' ἑκατονταετηρίδος καὶ ἀποτελούμενον ἐξ 160 σελίδων· ἐλλείπουσιν ὅμως αἱ σελίδες 17—32, ὅ ἐστιν ἓν τετράδιον, ἐκπεσὸν ἴσως κατὰ τὴν σύμπηξιν τοῦ ὅλου χειρογράφου. Περιέχει δὲ τὸ ἔτι ἀνέκδοτον τυπικὸν τῆς μονῆς τοῦ ἁγίου μάρτυρος Μάμαντος, «τῆς καταντικρὺ μὲν τῆς κοινοβιακῆς γυναικείας μονῆς τῆς Ἀριστηνῆς διακειμένης, πλησίον δὲ τῆς σεβασμίας μονῆς τοῦ Ἰασίτου». Ἀπὸ σελ. 139 αἱ ὑπογραφαί, ὧν προτάσσεται ἡ ἑξῆς σημείωσις· «Τὸ παρὸν τυπικὸν μετὰ καὶ εἰδήσεως ἡμετέρας προβὰν ἐκ προτροπῆς τοῦ μακαρίτου ἐκείνου αὐθέντου καὶ συναδέλφου μου τοῦ Μυστικοῦ κῦρ Γεωργίου παρὰ τοῦ τιμιωτάτου καθηγουμένου τῆς σεβασμίας μονῆς τοῦ ἁγίου μεγαλομάρτυρος Μάμαντος μοναχοῦ κυροῦ Ἀθανασίου τοῦ Φιλανθρωπηνοῦ ὑπεγράφη καὶ παρ' ἐμοῦ, ὡς ἔθος ἔχω τοῦ ὑπογράφειν, κατὰ μῆνα νοέμβριον ἰνδικτιῶνος ἑβδόμης, ἔτει ,ςχξζ' (1158). Ὁ δοῦλος τοῦ βασιλέως Θεοχάριστος ὁ Καππαδόκης». Τέλος· «καὶ αὖθις ἀντιγραφῆναι καὶ ἐναποτεθῆναι πρὸς τὴν διαληφθεῖσαν μονήν»· εἶτα· «λείπουσι τὰ ἑξῆς· διὸ καὶ ἡ παροῦσα προσθήκη διέμεινεν ἀτελής». Ἐν ἀρχῇ δὲ τοῦ τυπικοῦ ἀναγινώσκεται «πρόλογος περὶ τοῦ μακαρίτου Μυστικοῦ καὶ νέου δομήτορος», οὗ ἡ ἀρχή· «Μέγα τι καὶ θεῖον χρῆμα» κτλ. Καθ' ἑκάστην σελίδα 19 στίχοι (0,155×0,105).

217. Δύο χαρτῷα τεύχη τῆς ΙΖ' ἑκατ. ἐξ 154 φύλλων (0,206×0,15). Τὰ φ. 117—120 ἄγραφα.

α') «Τοῦ σοφωτάτου καὶ λογιωτάτου κυρίου κυρίου Θεοδοσίου τοῦ Κορυδαλλέως, πρώην μητροπολίτου Ναυπάκτου καὶ Ἄρτης, ἔκθεσις συνοπτικὴ τῆς ὅλης συλλογιστικῆς πραγματείας». Ἀρχ. «Ὅσα ἕνεκά του κινεῖται», φ. 1 — 116. Ἐν τέλει· «κατὰ τὸ ,αχξςον ἔτος τὸ σωτήριον ἐξεδόθη ἐν τῇ πόλει Ἱερουσαλήμ». Ἀπὸ φ. 121—138 «τοῦ αὐτοῦ Κορυδαλλέως εἰς τὰ ὕστερα τοῦ Ἀριστοτέλους ἀναλυτικά». Ἀρχ. «Τὸ ἀναγκαιότατον εἰς θήραν

τῆς ἀληθοῦς» κτλ. Φύλλ. 139—140 «τοῦ αὐτοῦ περὶ συλλογιστικῶν ἐλέγχων». Ἀρχ. «Εἰ μὲν ἦν χρῆσθαι» κτλ.

β') «Λιβανίου σοφιστοῦ ἐπιστολιμαῖοι χαρακτῆρες». Ἀρχ. «Ὁ μὲν ἐπισταλτικὸς χαρακτὴρ» κτλ., φ. 141—151. Εἶτα ἀνώνυμος ἑρμηνεία εἰς τὸ «Μοῦσαι Πιερῆθεν ἀοιδῆσι κλύουσαι». Ἀρχ. «Μοῦσαι ἐκλήθησαν ὡς ὁμοῦ ἀεὶ οὖσαι». Τέλος· «ἐξ οὗ καὶ ῥέζω ῥέξω τὸ πράττω καὶ θυσιάζω».

218. Τεῦχος χαρτῷον ἐκ 362 φύλλων (0,202×0,155), γραφὲν ἔτει 1771. Καθ' ἑκάστην σελίδα 23 στίχοι (0,16×0,11).

1. «Κυρίου Θεοδώρου τοῦ Προδρόμου ἐξήγησις εἰς τοὺς ἐν ταῖς ἱεραῖς δεσποτικαῖς ἑορταῖς ἐκτεθέντας κανόνας παρὰ τῶν ἁγίων μελῳδῶν Κοσμᾶ καὶ Ἰωάννου». Ἀρχ. «Ἔοικας ὦ ἄνθρωπε», φ. 1.

2. «Ἑρμηνεία ἐκ τοὺς τῆς ὀκτωήχου ἀναβαθμούς, ἐκδοθεῖσα παρὰ Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου». Ἀρχ. «Δεῖ μὲν οὖν πρὸ τῆς τῶν ἀντιφώνων», φ. 278. Ἐξεδόθη τὸ πρῶτον ἐν Ἱεροσολύμοις μετὰ προλεγομένων Κυρίλλου Ἀθανασιάδου (1862).

3. «Τοῦ αὐτοῦ πρὸς τὸν ἐρωτήσαντα περὶ τῆς ὑπακοῆς, τοῦ κοντακίου, τοῦ ἐξαποστειλαρίου καὶ τοῦ οἴκου, πόθεν ἐκλήθησαν». Ἀρχ. «Σοὶ μὲν ἀεὶ σπουδή», φ. 349. Ἐκδ. Κ. Ἀθανασιάδου σελ. 126—129.

4. «Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου ἐξήγησις εἰς "τὴν τιμιωτέραν", πρὸς τὸν ἀπὸ τῆς Ὁδηγητρίας ἱερομόναχον καὶ ἐκκλησιάρχην κύριον Νεόφυτον». Ἀρχ. «Οὔτε σε τοῦ θάρρους», φ. 351. Ἐν τέλει· «,αψοα' νοεμβρίου ὀγδόῃ ἐπὶ δέκα, ἐν τῇ ἁγίᾳ πόλει Ἱερουσαλήμ». Ἐκδ. Κυρίλλου Ἀθανασιάδου ἀρχιμανδρίτου σ. 130—148.

219. Τεῦχος χαρτῷον τῆς ΙΖ' ἑκατ. ἐκ φύλλων 276 (0,205 × 0,153). Καθ' ἑκάστην σελίδα 24 ἢ 25 στίχοι (0,165×0,12). Πολυάριθμα φύλλα ἀφέθησαν ἄγραφα. Ἐν φ. 1 προοίμιον οὗ ἡ ἀρχή· «Ἦν χρόνος ὅτε φιλοσοφίᾳ σχολάζων»· μεθ' ὃ δύο πίνακες κεφαλαίων, καὶ ἀπὸ φ. 8 τὸ κείμενον μετὰ τῆς ἑξῆς ἐπιγραφῆς

«Πόνημα Γεωργίου τοῦ σοφωτάτου διακόνου πρωτεκδίκου καὶ δικαιοφύλακος τοῦ Παχυμέρη, περὶ φυσικῆς ἀκροάσεως». Ἀρχ. «Ὁ σκοπὸς τοῦ βιβλίου τούτου ζητῆσαι» κτλ.

220. Τεῦχος χαρτῷον (0,205×0,15) ἐκ σελίδων 421, γραφὲν ὑπερμεσούσης τῆς ιϛ' ἑκατ. Καθ' ἑκάστην σελίδα 20 στίχοι (0,15×0,095).

1. «Ἰωάννου μοναχοῦ τοῦ Ζωναρᾶ ἑρμηνεία τῶν ἀναστασίμων κανόνων Ἰωάννου τοῦ Δαμασκηνοῦ. Ἀρχὴ τοῦ πρώτου ἤχου· ὁ κανών· ᾠδὴ α' ἦχος α'. Σοῦ ἡ τροπαιοῦχος» κτλ. Ἀρχὴ τῆς ἑρμηνείας· «Σοῦ ὦ ἀθάνατε ἡ τροπαιοῦχος», σελ. 1—396. Αἱ σελίδες 397 καὶ 398 κεναί.

2. «Ἐπιστολή τινος ὁσίου μοναχοῦ ἀποσταλεῖσα πρός τινα μοναχὸν ὀνόματι Καλλίνικον». Ἀρχ. «Τῇ κελεύσει σου», σ. 399.

3. (Φιλίππου μοναχοῦ διόπτρα)· «θρῆνοι κλαυθμοὶ καὶ ὀδυρμοὶ ἁμαρτωλοῦ καὶ ζῴου, δι' ὧν καὶ ἀπελέγετο πρὸς ψυχὴν τὴν ἰδίαν». Ἀρχ. «Πῶς κάθῃ πῶς ἀμεριμνεῖς», σ. 400β—421. Τέλος· «τοῦτο σημεῖον πάντως εἰς αἰῶνας αἰώνων, ἀμὴν ἀμὴν καὶ γένοιτο, γένοιτό μοι».

4. «Στίχοι ἀπολογητικοὶ» εἰς τὴν διόπτραν, ὧν ἡ ἀρχή· «Ὁ ἀμαθὴς πρὸς ἀμαθεῖς», σ. 421. Παρέπονται «ἕτεροι στίχοι Λέοντος εἰς τὸν ὄπισθεν λόγον» τῆς διόπτρας, ὧν ἡ ἀρχή· «Ὁ λόγος διδασκαλικός, εὔλογος ἡ συνθήκη» κτλ.

221. Τεῦχος χαρτῷον (0,205×0,155) ἐκ σελίδων 422, ἐξ ὧν ἄγραφοι αἱ σελίδες 1—3, 5—6, 36—38 καὶ 401—421. Ἐν τῇ 4 σελίδι ἐκολλήθη πίναξ ἐντύπου βιβλίου παριστῶν ἐν ἡλικίᾳ 37 ἐτῶν τὴν εἰκόνα «τοῦ λαμπροτάτου κυρίου Ζώτου τοῦ Ζηταρᾶ τοῦ ἐξ Ἰωαννίνων, πρωτοσπαθαρίου καὶ γαμβροῦ τοῦ γαληνοτάτου ἡγεμόνος πάσης Μολδοβλαχίας κυρίου κυρίου Πέτρου βοεβόδα».

Μαλαξοῦ νομοκάνων ἐν κεφαλαίοις 294, ὧν ἡ ἀναγραφὴ ἀπὸ σελ. 9 μέχρι σ. 35. Πρόλογος ἀπὸ 7 σελίδος, οὗ ἡ ἀρχή· «Θησαυρὸς κεκρυμμένος». Τὸ κείμενον ἀπὸ σελ. 39. Ἀρχ. «Πρέπει τὸν κριτὴν» κτλ. Ἐγράφη δὲ ἀμελέστατα ὑπὸ Τζώρτζη Ἀναγνώστου ἐν ἔτει 1705. Ὅρα τὰς σελίδας 8 καὶ 392.

222. Τεῦχος χαρτῷον (0,20×0,135) τῆς ΙΕ' ἑκατ. ἐκ φύλλων 395, βεβλαμμένον διὰ σητῶν καὶ πολλῆς χρήσεως. Ἐπὶ ἰδιαιτέρου φύλλου σημείωσις λέγουσα· «ἀγορὰ Δοσιθέου ἐξάρχου Ἱεροσολύμων ὑπὲρ τοῦ ἁγίου τάφου, 1689 ὀκτωβρίου 18, ἐν Κωνσταντινουπόλει.

1. Ἀκέφαλος ἑρμηνεία τοῦ Ψαλτῆρος ἐμπεριλαμβάνουσα καὶ τὰ τροπάρια τῶν καθισμάτων· ἄρχεται δὲ οὕτω· «ταράξει αὐτούς», φ. 1—358.

2. «Ἀπὸ τοῦ προοιμίου τῆς ἐξηγήσεως τοῦ φιλοσόφου κυρίου Εὐθυμίου τοῦ Ζηγαδηνοῦ». Ἀρχ. «Ἀλλὰ καιρὸς διδάξαι λοιπόν», φ. 395.

223. Τεῦχος χαρτῷον (0,202×0,145) ἐκ φύλλων 292, γραφὲν περὶ τὸ τέλος τῆς ΙΖ' ἑκατ. καὶ περιλαμβάνον τὰ ἑξῆς κείμενα.

1. «Διάλογοι διάφοροι μεταξὺ Γραίκου καὶ Λατίνου περὶ πολλῶν ἐν αὐτοῖς διαφορῶν καὶ μάλιστα περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος ἐκ τοῦ Υἱοῦ καὶ τῆς ἀρχῆς τοῦ πάπα, συνθεμένοι εἰς τὴν ἰταλικὴν γλῶσσαν παρά τινος ἀδήλου φιλέλληνος καὶ παρ' αὐτοῦ ἑρμηνευθέντες εἰς τὴν ἁπλῆν καὶ χυδαίαν τῶν Γραικῶν (εἰς) παρὰ πάντων κατάληψιν καὶ ὠφέλειαν τοῦ γένους, ὁποῦ διὰ τὴν παροῦσαν δυστυχίαν παρὰ πολλῶν κατηγορεῖται ὡς οὐκ ὀρθόδοξον». Ἐν ἀρχῇ πρόλογος τοῦ ἕλληνος τυπογράφου, ἕτερος ἐκ τῆς ἰταλικῆς μεταφρασθεὶς καὶ τρίτος τοῦ συγγραφέως. Ἀρχ. «Λατῖνος: φίλε ἐπειδὴ ἐλάχαμεν», φ. 4.

2. «Νικολάου ἐπισκόπου Μεθώνης κεφαλαιώδεις ἔλεγχοι τοῦ παρὰ Λατίνοις καινοφανοῦς δόγματος, τοῦ ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται, συνοψισθέντες ἐκ τῶν διὰ πλάτους ἐν διαφόροις λόγοις γεγραμμένων αὐτῷ εἰς κοινὴν γλῶτταν». Ἀρχ. «Ὁμολογούμενον εἶναι», φ. 258.

3. «Ἐκ τῶν τοῦ μακαριωτάτου πατρὸς ἡμῶν Μελετίου ἀρχιεπισκόπου Ἀλεξανδρείας ἐπιστολῶν, περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος». Ἀρχ. «Τί τοίνυν φατέ», φ. 267β.

4. «Ἐγχειρίδιον διδασκάλου τινὸς περὶ τῶν πρωτείων τοῦ πάπα». Ἀρχ. «Ἂν κανένας ἀπὸ τοὺς ἀποστόλους», φ. 274.

224. Τεῦχος χαρτῷον (0,204 × 0,154) ἐκ φύλλων 38. Αὐτόγραφον Χρυσάνθου. Καθ' ἑκάστην σελίδα 24 στίχοι (0,153 × 0,10).

«Χρυσάνθου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου τοῦ ἀποστολικοῦ τῶν Ἱεροσολύμων ἁγιωτάτου πατριαρχικοῦ θρόνου, περὶ ἀφορισμοῦ, κατ' αἴτησιν τοῦ γαληνοτάτου καὶ θεοσεβεστάτου αὐθέντου καὶ ἡγεμόνος πάσης Οὐγγρουβλαχίας κυρίου κυρίου Ἰωάννου Κωνσταντίνου Βασσαράβα Μπραγκοβάνου βοεβόδα». Ἀρχ. «Τὸ ἀφορίζω, ἐξ οὗ καὶ ὁ ἀφορισμός, εἶναι φωνὴ ὁμώνυμος» κτλ.

225. Τεῦχος χαρτῷον (0,195 × 0,15) ἐκ φύλλων 157, γραφὲν τελευτώσης τῆς ις' ἑκατ. ὑπὸ Κλήμεντος Ῥοδίου. Καθ' ἑκάστην σελίδα 22 στίχοι (0,14 × 0,105). Σητόβρωτον.

«Ἐπιστολὴ κυροῦ Ἀκακίου ἀμονάχου καὶ Σαββαΐτου πρὸς τὸν αἰτήσαντα Ῥηγῖνον καὶ πρόλογος τῆς βίβλου τοῦ ἱεροῦ τοῦδε (πυκτίου), φέροντος τὴν ἑρμηνείαν τοῦ μεγάλου καὶ ἱεροῦ κανόνος τοῦ ἐν ἁγίοις θεοφόρου πατρὸς ἡμῶν Ἀνδρέου τοῦ Ἱεροσολυμίτου». Ἀρχ. «Ἄγαμαί σε ἀγαπητὲ ἀδελφὲ» κτλ.

226. Τεῦχος χαρτῷον (0,20 × 0,085) τῆς ΙΖ' ἑκατ. Καθ' ἑκάστην σελίδα 15 στίχοι (0,135 × 0,085). Ἀπὸ φ. 1 — 11 πίναξ 66 κεφαλαίων τοῦ ἑξῆς βιβλίου.

1. «Ἐρωτήσεις τοῦ ἁγιωτάτου Πατριάρχου Ἀλεξανδρείας κυρίου Μάρκου καὶ ἀποκρίσεις ἐπ' αὐταῖς τοῦ ἁγιωτάτου πατριάρχου Ἀντιοχείας κυροῦ Θεοδώρου τοῦ Βαλσαμών, ἐπὶ τῆς βασιλείας Ἰσαακίου τοῦ Ἀγγέλου, πατριαρχοῦντος Γεωργίου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ ἐν ἔτει τῆς ἐνσάρκου οἰκονομίας ͵ασγ'». Ἀρχ. «Προοίμιον: ὁ μὲν θεόπτης Μωυσῆς», φ. 13—76.

2. «Θέσπισμα τοῦ μεγάλου Κωνσταντίνου περὶ τοῦ πάπα Ῥώμης». Ἀρχ. «Θεσπίζομεν σὺν πᾶσι» κτλ., φ. 77.

227. Τεῦχος χαρτῷον (0,193 × 0,13) ἐκ φύλλων 208, γραφὲν ἀρχομένης τῆς ἐνεστώσης ἑκατ. (ὑπὸ Μαξίμου Συμαίου).

Θηχαρᾶ μοναχοῦ ὡρολόγιον κατὰ τὴν ἑξῆς τάξιν.

1. «Ἑρμηνεία τῶν ὕμνων. Διονυσίου μοναχοῦ κεφάλαια ἐκ τῶν τριάκοντα περὶ διαφορᾶς τῶν θείων ὕμνων». Ἀρχ. «Δέδωκεν ἡμῖν ὁ Θεός», φ. 1.

2. «Θεοδούλου μοναχοῦ διήγησις περὶ τῶν ὕμνων». Ἀρχ. «Δέον ἡμῖν ἅπερ ἠκούσαμεν», φ. 5.

3. «Λόγος τοῦ Θηκαρᾶ πρὸς τὸν Θεόδουλον». Ἀρχ. «Ἐγὼ ἀδελφὲ τῷ κόσμῳ», φ. 5β.

4. «Περὶ τῆς ἀσκητικῆς ἀκολουθίας· τοῦ Θηκαρᾶ διάταξις καὶ αὕτη». Ἀρχ. «Ὁ δὲ βουλόμενος ἐν τῷ καιρῷ», φ. 12β.

5. «Εὐχαὶ μετὰ τὴν ἐξ ὕπνου ἔγερσιν, μετὰ τὸ: πάτερ ἡμῶν». Ἀρχ. «Δόξα σοι βασιλεῦ», φ. 18.

6. «Ὕμνος τριαδικὸς σὺν εὐχῇ· λέγεται δὲ εἰς τὴν ἀρχὴν τοῦ μεσονυκτικοῦ μετὰ τὸ εἰπεῖν τὸ Κύριε ἐλέησον ιβ'. Ἐκ τῶν δογμάτων τοῦ ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτου ἐκλογὴ καὶ σύνταξις τοῦ Θηκαρᾶ μοναχοῦ», φ. 19.

7. «Ὕμνος τοῦ σοφωτάτου Νικηφόρου τοῦ Βλεμμίδου μετὰ τὸ: δόξα ἐν ὑψίστοις Θεῷ». Ἀρχ. «Σὺ κύριος ὁ μόνος ἀγαθὸς», φ. 102.

8. «Τοῦ αὐτοῦ Θηκαρᾶ εὐχαὶ συλλεχθεῖσαι ἀπὸ τῆς θείας Γραφῆς, πλεῖσται δὲ ἀπὸ τοῦ ἁγίου Ἐφραὶμ τοῖς βουλομένοις πολεμῆσαί τινα αὐτῶν πρὸς τὰ πάθη καὶ τὰς ἡδονὰς ἐγκειμένην προαίρεσιν». Ἀρχ. «Πένθος τῇ δευτέρᾳ ἑσπέρας. Δέξαι δέησιν ῥυπαροῦ», φ. 146β.

9. «Εἰς τὴν ἑρμηνείαν τῶν ψαλμῶν· τοῦ μεγάλου Ἀθανασίου ἐκ τῆς πρὸς Μαρκελλῖνον ἐπιστολῆς». Ἀρχ. «Ἑκάστη βίβλος θεόπνευστος», φ. 183β.

10. «Περὶ τῆς τῶν ἀριθμῶν δυνάμεως συναθροισθέντα τὰ πλεῖστα ἐκ τῆς πρὸς Θαλάσσιον» συγγραφῆς τοῦ ὁσίου Μαξίμου τοῦ ὁμολογητοῦ. Ἀρχ. «Ἀριθμοῦ σαφήνειαν λέγει», φ. 189β.

11. «Εὐχὴ πρὸς ἀπαλλαγὴν παθῶν σαρκικῶν τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Θαλασσίου τοῦ Λίβυος». Ἀρχ. «Δέσποτα τῶν ἁπάντων», φ. 195. Παρέπονται διάφοροι εὐχαί.

12. «Κανὼν χαιρετήσιμος εἰς τὴν ὑπεραγίαν Θεοτόκον· πόνημα τοῦ εὐσεβεστάτου βασιλέως κυροῦ Θεοδώρου τοῦ Λασκάρεως». Ἀρχ. «Χαίροις ἱλαστήριον», φ. 204.

228. Μαθηματάριον χαρτῷον (0,204 × 0,15) γραφὲν τελευτώσης τῆς ΙΗ' ἑκατ., συγκείμενον ἐκ 291 φύλλων, ὧν τινα

ἄγραφα, καὶ ἐμπεριέχον ψυχαγωγικὴν ἑρμηνείαν τῶν ἑπομένων κειμένων, ἅπερ ἐν τῷ Βυτίνης σχολείῳ ἐδιδάσκοντο· α') Ἰω. Χρυσοστόμου λόγος περὶ προσευχῆς· β') τοῦ αὐτοῦ λόγος εἰς Εὐτρόπιον· γ') Γρηγορίου Ναζιανζηνοῦ γνωμικὰ τετράστιχα· δ') Ἰσοκράτους πρὸς Δημόνικον παραίνεσις, ἧς ἐν τέλει γέγραπται· «τὴν μὲν ἔναρξιν γαμηλιῶνος εἰκοστῇ, τὴν δὲ ἔκβασιν σκιρροφοριῶνος δεκάτῃ πρώτῃ εἴληφεν ὁ ἀνακείμενος τοῦ Ἰσοκράτους ῥήτορος λόγος»· ε') τοῦ αὐτοῦ πρὸς Νικοκλέα· ς') Βασιλείου εἰς τὸ «πρόσεχε σεαυτῷ»· ζ') τοῦ αὐτοῦ ὁμιλία κατὰ τῶν ὀργιζομένων· η') Πλουτάρχου περὶ παίδων ἀγωγῆς. Ἐν τέλει δὲ σημείωσις τοῦ διδασκομένου μαθητοῦ δηλοῖ ὅτι «τὴν μὲν ἀρχὴν μαΐου ιγ', τὸ δὲ τέλος ἀπριλίου κθ' πεποιήκαμεν τῶν παρόντων τοῦ Πλουτάρχου λόγων παρὰ Παρθενίου ἱεροδιακόνου διδάσκοντος ἐν τῷ κατὰ τῆς Βυτίνης φροντιστηρίῳ» [1].

229. Τεῦχος χαρτῷον ἀπηρτισμένον ἐκ τετραδίων δύο σχημάτων (0,195×0,135 καὶ 0,17×0,116)· σύγκειται δ' ἐκ φύλλων 175 καὶ περιλαμβάνει

«Τὸ τέταρτον βιβλίον τῶν εἰς τέσσαρα διῃρημένον διδασκαλιῶν τῆς εἰσαγωγῆς τῆς γραμματικῆς, τῆς διδασκούσης περὶ γραμματικῶν δηλαδή· τὴν ὁποίαν συνέταξεν ὁ Θεόδωρος. Ἔστι δὲ ἡ ἀρχὴ χειραγωγία τις καὶ ὁδήγησις ἀρχαρίων ἐπὶ τὰ τέλη τῶν διδασκομένων». Ἀρχ. «Λοιπὸν δέ· ὁ δέ ἐστιν ἐπακολουθητικός» κτλ. Ἐν τέλει· «1808 φεβρουαρίου τῇ 21».

230. Τεῦχος χαρτῷον (0,182×0,13) ἐκ σελίδων 320, γραφὲν πιθανῶς παρ' αὐτοῦ τοῦ συγγραφέως. Καθ' ἑκάστην σελίδα 20 στίχοι (0,147×0,095).

1. Διονυσίου ἁγιοσαββίτου ἔμμετροι διηγήσεις πρὸς τοὺς προσκυνητὰς τῶν ἁγίων τόπων, ὡς περὶ τῶν παθῶν τοῦ Κυρίου,

[1] Τὴν μονογραφίαν Π. Παπαζαφειροπούλου περὶ τῆς ἐν Βυτίνῃ σχολῆς (ἐν Ναυπλίῳ 1858) ἀγνοῶ· διὸ ὅρα περὶ Παρθενίου τὸ τοῦ Ε. Καστόρχη βιβλίον περὶ τῆς ἐν Δημητσάνῃ σχολῆς (ἐν Ἀθήναις 1847), σ. 22, καὶ τὸ σχεδίασμα Μ. Παρανίκα σ. 106, ἔτι δὲ Κ. Σάθα νεοελλ. φιλολ. σ. 600, ἔνθα τοῦ Παρθενίου πονήματά τινα σημειοῦνται, οἷς προσθετέον καὶ τὸ ἐν «Πανδώρας» τ. ΧΧ σ. 172 κέ. καταχωρισθέν.

τῆς γεννήσεως τοῦ προφήτου Δαβὶδ κλπ. Ἀρχ. «Ἀναστρεφόμενοι λοιπὸν εἰς τὸ προκείμενόν μας», σελ. 296.

2. Τοῦ αὐτοῦ ἔμμετροι «λόγοι ἐκ τῶν θείων καὶ θεοπνεύστων ἁγίων πατέρων καὶ μεγάλων ἀσκητῶν πρὸς ὠφέλειαν ψυχῆς». Ἀρχ. «Ἔλεγεν κάποιος ἀπὸ τοὺς ἐναρέτους», σ. 297.

3. Τοῦ αὐτοῦ ἔμμετρος παράφρασις λόγου τοῦ Χρυσοστόμου «ὅτι δὲν πρέπει νὰ κλαίωμεν τὰ νήπια πικρῶς ὅταν ἀποθνήσκουσι». Ἀρχ. «Οσα γὰρ μικρὰ παιδία», σ. 305. Παρέπονται ἄλλα κεφάλαια καὶ τέλος ὁ ποιητὴς τὸ ὄνομα αὐτοῦ δηλοῖ οὕτως ἐν σελ. 318.

Γέγραπται ταῦτα ὑπὸ χειρὸς σοῦ δούλου,
οὗ οἶδας αὐτὸν καὶ οὐκ ἔγνωκας ἢ ἔγνωκας χατζῆ·
εἰ δὲ καὶ τοῦ ὀνόματος ἐνθυμεῖσθαι ἐθέλεις,
Διονυσίου μέμνησο ἐν προσευχαῖς ἁπάσαις κτλ.

«Ἐγράφη τὸ παρὸν ἐν ἔτει 1788 ἰουνίου μηνὸς 2 ἐν τῷ σεβασμίῳ πύργῳ τοῦ ἁγίου Συμεῶνος τοῦ Στυλίτου κειμένης(-ῳ) ἀπ᾽ ἔξω τῆς ἁγίας λαύρας τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα τοῦ ἡγιασμένου ἐν Παλαιστίνῃ:—καὶ ἐσταχώθη διὰ χειρὸς τοῦ πανοσίου πατρὸς καὶ πνευματικοῦ ἡμῶν κυροῦ Ἰωαννικίῳ(-ου) Γγιομὴς-χαναλῆ, εἰς μνημόσυνον αὐτοῦ καὶ τῶν γονέων του».

231. Τεῦχος χαρτῷον (0,196×0,155) ἐκ φύλλων 260, γραφὲν μεσούσης τῆς ΙΗ′ ἑκατ. Καθ᾽ ἑκάστην σελίδα 20 στίχοι (0,155×0,105). Τὰ φύλλα 212β — 216 καὶ 229 — 232 ἀφέθησαν κενά.

1. Μαλαξοῦ νομοκάνων ἐν κεφ. 294 κατὰ τὸν προτεταγμένον πίνακα. Ἀρχ. «Θησαυρὸς κεκρυμμένος» κτλ., φ. 1—212.

2. «Διάλεξις Εὐθυμίου καὶ Σαρακηνοῦ φιλοσόφου περὶ πίστεως ἐν τῇ Μελιτινῇ πόλει». Ἀρχ. «Ἐρώτησις Σαρακηνοῦ πρὸς Εὐθύμιον: πῶς ὁμολογεῖτε πολυθεΐαν», φ. 217—228.

3. Ἀνωνύμου διδασκαλία ἐπιστολογραφίας, ἧς ἡ ἀρχή· «Τὰ εἴδη τῶν ἐπιστολῶν ἄλλοι τὰ λέγουσι περισσότερα», φ. 233—255.

4. «Λόγος ἑνδέκατος Γερασίμου πατριάρχου Ἀλεξανδρείας περὶ τοῦ τόπου καὶ τοῦ τρόπου τῆς παρουσίας τοῦ Χριστοῦ καὶ τῆς κρίσεως αὐτοῦ». Ἀρχ. «Κοινῶς οἱ πολλοὶ ἄνθρωποι», φ. 256β—260.

232. Τεῦχος χαρτῷον (0,20×0,15) τῆς ΙΖ′ ἑκατ. ἐκ φύλλων 237. Καθ' ἑκάστην σελίδα 23 ἢ 24 στίχοι.

1. (Ἰωάννου Μαΐμη) «εἰς τὰ περὶ ψυχῆς τοῦ Ἀριστοτέλους βιβλία» ἑρμηνεία, ἧς ὁ συγγραφεὺς ἐδηλώθη παρ' ἄλλου, προσθέντος ἄνωθεν τῆς ἐπιγραφῆς τάδε· «πόνος καὶ σπουδὴ Ἰωάννου Μαΐμη ἰατροφιλοσόφου», ὃν ἀγνοῶ ἄλλοθεν. Ἀρχ. «Ἐπειδή περ οὐδεμία γένεσις», φ. 1—229.

2. Ἀδήλου «ἀποκαλύψεως κεφάλαιον διὰ στίχων ἰάμβων» εἰς §§ κβ′. Ἀρχ. «Κεφάλαιον α′. Πρώτῳ ταχεῖαν ἔκβασιν θεαμάτων», φ. 231—236α. Τέλος· «ὡς δ' ἔστιν ἔστω· πᾶς τις ἥκει γὰρ τάχος. Στίχοι ρνή 158. τέλος τῆς ἀποκαλύψεως τοῦ Ἰωάννου».

3. «Γρηγορίου τοῦ Θεολόγου γνῶμαι μονόστιχοι κατὰ ἀλφάβητον ἰαμβικόν· ἠθικὸν ἀλφάβητον». Ἀρχ. «Ἀρχὴν ἁπάντων καὶ τέλος», φ. 236β—237α.

233. Τρία χαρτῷα τεύχη συμπεπηγμένα, ὧν τὸ μὲν πρῶτον αὐτόγραφον Ἰακώβου διδασκάλου ἐν Ἱεροσολύμοις (ὕψ. 0,194 πλ. 0,148), τὸ δὲ δεύτερον (φ. 98 — 148) ἐγράφη μεσούσης τῆς ΙΗ′ ἑκατ., τὸ δὲ τρίτον ἀπόσπασμά ἐστιν εὐχολογίου γραφέντος μεταξὺ τῆς ιε′ καὶ ις′ ἑκατονταετηρίδος (φ. 150—164). Ἐν τῇ ὤᾳ τοῦ πρώτου φύλλου ἐπιγραφή· «ἐπιστολῶν ἄθροισις τοῦ ἐν μακαρίᾳ τῇ λήξει ἀοιδίμου κὺρ Μακαρίου τοῦ ἐμοῦ καθηγητοῦ».

1. Μακαρίου Πατμίου τῷ διδασκάλῳ Ἰακώβῳ 23 σεπτ. 1730. Ἀρχ. «Τῇ εἰκοστῇ δευτέρᾳ», φ. 1.—Τῷ αὐτῷ 28 μαρτ. 1731 ἐπιστολὴ Μακαρίου πέμποντος διὰ Κουτρούλη δύο λόγους καὶ τετράδια 14 καὶ βίβλους 19, φ. 2.

2. Ἀθανασίου πατριάρχου πρώην Ἀντιοχείας ἐπιστολὴ τῷ Ἀντιοχείας Κυρίλλῳ (σεπτ. 1709), ἀφιεροῦντος αὐτῷ βιβλίον ἐκ τῆς ἑλληνικῆς εἰς τὴν ἀραβικὴν γλῶσσαν μεταφρασθέν, φ. 2β.

3. Μακαρίου Πατμίου ἐπιστολὴ Σιλβέστρῳ πατριάρχῃ Ἀντιοχείας (7 αὐγ. 1726) ἀγγέλλοντος τὴν ἔλευσιν τοῦ παπᾶ Ἀναστασίου ὡς συνδιδασκάλου, ὃς «δὲν θέλει φανῇ δεύτερος τοῦ κὺρ Ἰακώβου οὔτε κατὰ τὴν παιδείαν οὔτε κατὰ τὰ ἤθη»· συναποστέλλει δὲ ἐννέα ὁμιλίας, ὧν καταγράφει καὶ τὸ περιεχόμενον, φ. 4β.

4. Μακαρίου Πατμίου ἐπιστολαὶ πέντε τῷ διδασκάλῳ Ἰακώβῳ, ὧν ἡ πρώτη ἐγράφη τῇ 22 φεβρ. 1732, ἡ τετάρτη τῇ 10 νοεμβρίου 1728 καὶ ἡ τρίτη τῇ 26 ἀπριλίου 1727, ἐν ᾗ σὺν ἄλλοις γράφει· «ἐδήλωσας προτείνας (τῷ Ἀντιοχείας Σιλβέστρῳ) τὴν σὴν πανοσιότητα, ὅτι ἐθνωφελὴς τυγχάνων τῆς πατρίδος τὴν ξένην ἔκρινας καὶ ὅτι σὺν τῷ πατριάρχῃ ἀποβληθεὶς τοῦ Χαλεπίου ἐν Τριπόλει νῦν συγκροτεῖς τὴν σχολήν, ἐν ᾗ καὶ συνέρρευσαν παῖδες Ἀράβων φιλολογοῦντες τῶν ἑκατὸν ἐπέκεινα· διὰ σέ τε καὶ τὴν σχολήν, ἐπὶ πᾶσι δὲ καὶ τὸν καλὸν ποιμένα τῇ ὑπερασπίσει ἐκείνου ἀνατίθημι» κτλ., φ. 6—11^{α}.

5. Μακαρίου Πατμίου ἐπιστολὴ τῷ διδασκάλῳ Ἰακώβῳ (27 σεπτ. 1726), γράφοντος αὐτῷ «μετ' οὐ πολλὰς ἡμέρας ἐξ ὅτου ἀπεδήμησεν ἐνταῦθα ὡς πρὸς ἡμᾶς ὁ παπᾶ κὺρ Ἀναστάσιος, ἧκε τὰ ἱερά σου γράμματα, ἅττα οὐ μικρᾶς ἡμῖν ἡδονῆς ἐγένετο πρόξενα, ἅτε δὴ ἐξαγγέλλοντα τὰ τῆς ἐφετῆς μοι ὑγείας σου καὶ τὴν ἐπίδοσιν τοῦ μουσείου, τά τε κατὰ τῶν ἐναντίων (Λατίνων) τρόπαια καὶ τὴν λύσσαν αὐτῶν κατὰ τῶν ὀρθοδόξων ἔκ τε τῆς ἀναφορᾶς καὶ ἄλλων. Ἀνδρίζου τοίνυν καὶ ἥκιστα μικροψύχει κατὰ τῶν τοιούτων φερόμενος· μετὰ σοῦ γὰρ οὐ μόνον τὸ στίφος ἅπαν τῶν ὀρθοδόξων τῶν τε πάλαι καὶ νῦν, ἀλλὰ καὶ αὐτὸς ὁ Θεός», φ. 11^{β}· πέμπει δ' αὐτῷ πάλιν διὰ τοῦ παπᾶ Ἀναστασίου τρεῖς λόγους διδακτικούς, πρὸς ὠφέλειαν τῶν ὀρθοδόξων τοῦ ἀντιοχικοῦ θρόνου.

6. Μακαρίου Πατμίου «τῷ πανοσιωτάτῳ καὶ λογιωτάτῳ διδασκάλῳ τῆς νῦν συγκροτηθείσης σχολῆς ἐν Ἀντιοχείᾳ κυρίῳ Ἰακώβῳ», 17 αὐγούστου 1726, φ. 12. Ἑτέρα τῷ αὐτῷ 20 αὐγ. 1726, φ. 13.

7. Μακαρίου Πατμίου τῷ Ἀντιοχείας Σιλβέστρῳ (20 ἰουνίου 1727), ἀγγέλλοντος «ὅτι ἡ θεία πρόνοια τῆς ἑτοιμάζει ἀντὶ τοῦ παπᾶ Ἀναστασίου ἄλλους δύο ἱερομονάχους θεοφιλεῖς καὶ ὀλιγαρκεῖς καὶ τὸ σχῆμα καὶ τὸ πρᾶγμα μοναδικὴν ἀσπαζομένους ζωήν... ὁ εἷς παπᾶ Γρηγόριος ὁ Σαμιακός, ὅστις καὶ ὡμίλησεν ἐν τῇ Κ/πόλει καθ' ὃν καιρὸν ἐχειροτονήθη, ὁ ἕτερος πάνυ εὐλαβὴς Καλλίνικος λέγεται ἱερομόναχος» κτλ., φ. 14.

8. Ἀθανασίου ἱερομονάχου ἐπιστολὴ Ἰακώβῳ, φ. 15β.

9. Μακαρίου Πατμίου ἐπιστολαὶ δύο Ἰακώβῳ (27 σεπτ. καὶ 15 αὐγ. 1726), φ. 16.

10. Μακαρίου Πατμίου ἀχρονολόγητος ἐπιστολὴ Σιλβέστρῳ πατριάρχῃ Ἀντιοχείας ζητήσαντι ἐκ Πάτμου διδασκάλους. Γράφει δ' ὁ Μακάριος τάδε· «ἂς ἔχῃ εἴδησιν ὅτι διδασκάλους ἡ αὐχμώδης τούτη νῆσος οὔπω ἐβλάστησεν οὔτε βλαστήσει ἀπορίᾳ τοῦ διδάσκοντος: μόλις ἀντιγράφους τῶν μαθημάτων τοῦ ὀρθοδοξοτάτου μου διδασκάλου κυρίου Ἰακώβου. Τοιούτους ἀνίσως καὶ χρειάζεται ἡ ὑμετέρα θεοσέβεια εὑρίσκει, καὶ μάλιστα ὁ ἀποστολικὸς ζῆλος τῆς σῆς μακαριότητος ἐπτέρωσε πολλοὺς καὶ τὰ ὑπὲρ δύναμιν φρονεῖν, ἐξ ὧν ὁ πρώτιστος ἱερομόναχος Ἰακωβος, ἀνὴρ θεοσεβὴς καὶ φοβούμενος τὸν Κύριον, πρόθυμος εἰς τὰ νεύματα τῆς σῆς μακαριότητος. Διὰ τοῦτο ὅταν ἀποκατασταθῇ εἰς τὸν ἀποστολικὸν θρόνον, εἰ μὲν καὶ ἀπορήσει ἄλλου διδασκάλου, ἂς προστάξῃ πόθεν νὰ ἔλθῃ ὁ διαληφθεὶς Ἰάκωβος, διὰ θαλάσσης ἢ διὰ ξηρᾶς, καὶ εἰς ποίαν σκάλαν νὰ ἔλθῃ πρῶτον. Εἰς τὴν Κ/πολιν δὲν εἶναι νὰ ἔλθῃ τόσον καὶ διὰ τὴν σπάνιν τῶν πλευσίμων καὶ τοὺς κινδύνους, ὅσον καὶ διότι ἀσχολεῖται τό γε νῦν ἔχον εἰς τὴν μελέτην τοῦ θεολογικοῦ βιβλίου τοῦ Δαμασκηνοῦ. Εἶναι καὶ ἄλλοι ἐρασταὶ τῶν ὑμετέρων εὐχῶν καὶ αὐτοὶ ἀντιγράφοι τῶν μαθημάτων ὧν ἔφην τοῦ κυρίου Ἰακώβου, εἴδησιν ἔχοντες μικρὰν τῶν ἐγκυκλίων καὶ μέρος τῶν φιλοσοφικῶν, καὶ αὐτοὶ ἐπαινέται τοῦ ἀποστολικοῦ της ζήλου, πρόθυμοι νὰ ὑπηρετήσουν τῷ θεοφιλεῖ της σκοπῷ, καὶ ἂς προστάξῃ ὅσους ὁρίζει καὶ εἶναι ἕτοιμοι νὰ καταφρονήσουν καὶ δεσμοὺς συγγενικοὺς καὶ πατρίδος εὐπάθειαν καὶ θαλάσσης κινδύνους καὶ ὁδοιπορίας πόνους, μόνον ὅτι ἤκουσαν ὅτι ἀνέτειλε ζῆλος ἀποστολικὸς εἰς τὴν ἐκκλησίαν τῶν ὀρθοδόξων», φ. 18β.

11. Μακαρίου Πατμίου Ἰακώβῳ (9 μαΐου 1729) γράφοντος «αὐτὸς δὲ μὴ ὀλιγώρει τοῦ σοῦ ἐπαγγέλματος, οὔτε μὴν μικροψύχει πρός τε τὰ συμβαίνοντα δεινὰ (παρὰ τῶν Λατίνων) καὶ τὴν πενίαν τοῦ μακαριωτάτου (Ἀντιοχείας Σιλβέστρου ἀποδιωχθέντος)· πάντων γὰρ τὰ ἐπίχειρα ἀποδώσει ὁ τῶν ὅλων πρύ-

τανις», φ. 20. Ἑτέρα τῷ αὐτῷ (25 μαΐου 1729) πρὸς ὃν πέμπει δύο λόγους «εἰς χρῆσιν τῶν αὐτόθι φιλολόγων», φ. 21.

12. Μακαρίου καὶ Ἰακώβου ἐπιστολαὶ τῷ Ἀντιοχείας Σιλβέστρῳ, φ. 22 κέ. Ἐν φ. 35β γράφει ὁ Ἰάκωβος· «διὰ τὸν ἱερομόναχον τὸν κατασταθέντα ὑπ' αὐτῆς διδάσκαλον εἰς Χαλέπιον θέλω γράψει τῷ κῦρ Μακαρίῳ ὅτι εὐηρεστήθη ἡ μακαριότης αὐτῆς εἰς τὴν αὐτοῦ παρουσίαν».

13. Μακαρίου Πατμίου ἐπιστολαὶ δύο πρὸς Ἀκάκιον, φ. 38β. Εἰς φ. 39· «ἔγραψε καὶ ὁ διδάσκαλος Γιαννακὸς ἀπὸ τὴν Θεσσαλονίκην διὰ κάποιον Παχώμιον ὁποῦ εὑρίσκεται ἐκεῖ· μαθητὴς εἶναι τοῦ Μεθοδίου, ἐπαγγέλλεται τὰ τῶν σοφῶν, ὑβριστὴς τοῦ Ἀριστοτέλους ἄκρος» κτλ.

14. Ἐπιστολαὶ πρὸς διαφόρους, ὡς παπᾷ Διονυσίῳ, τοῖς ἐν Καρπάθῳ καὶ Κάσσῳ, τῷ Ἀλεξανδρείας Σαμουὴλ Καπασούλῃ, τῷ Νικαίας Γερασίμῳ, τῷ διδασκάλῳ Ἰακώβῳ, φ. 41—63.

15. Μακαρίου Πατμίου Καισαρίῳ ἐπιτρόπῳ καὶ διοικητῇ τοῦ ἁγίου τάφου (24 αὐγούστου 1736), γράφοντος· «ἰδοὺ ἔρχεται εἰς τὰ αὐτόθι ὁ διδάσκαλος κὺρ Ἰάκωβος ... διὰ ταῦτα καὶ ἄλλα παρόμοια καὶ ὁ κὺρ Ἰάκωβος ἐπρόκρινεν ἐλθεῖν αὐτοῦ· ἀλλὰ καὶ ὁ πανάγαθος Θεὸς σὲ ἠξίωσε νὰ κατορθώσῃς σχολεῖον εἰς τὴν Ἰερουσαλήμ, πρᾶγμα ὁποῦ τὸ ἐπεθύμησαν πολλοὶ πατριάρχαι καὶ δὲν τοὺς τὸ ἐχάρισεν ὁ Κύριος, διὰ νὰ ἀληθεύῃ πάντοτε ὁ λόγος ὁποῦ εἶπεν: ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται» κτλ., φ. 63β.

16. Μακαρίου Πατμίου ἐπιστολαὶ Ἰακώβῳ (23 φεβρ. 1736), Χρυσάνθῳ Ἱεροσολύμων, Σάββᾳ τῷ Χίῳ καὶ τῷ Κ/πόλεως πατριάρχῃ τέσσαρες, φ. 64β—71.

17. «Ἶσον τοῦ πρωτοτύπου τῆς παραιτήσεως τοῦ πρώην Ἀλεξανδρείας κυρίου Γερασίμου» εἰς Σαμουὴλ Καπασούλην, 20 ἰανουαρίου 1710, φ. 72.

18. Πατριαρχικὸν ἀχρονολόγητον ἔγγραφον ἀπαγγέλον τὴν καθαίρεσιν τοῦ Σίφνου ἀρχιεπισκόπου Μακαρίου, φ. 74.

19. Ἔγγραφον πατριαρχικὸν φιλοδωροῦν ἐξαρχίαν ἀνωνύμῳ τινὶ λογοθέτῃ τοῦ γενικοῦ (1653), φ. 75β.

20. Ἰακώβου πατριάρχου Κ/πόλεως πρᾶξις ἐπὶ χειροτονίᾳ Νεοφύτου εἰς ἐπίσκοπον Καρπάθου, τοῦ τέως Μακαρίου καθαιρεθέντος διὰ τὸ περιέρχεσθαι εἰς ἄλλους τόπους. Ἔγγραφον ἀπολυθὲν μηνὶ ἀπριλίῳ 1680, φ. 78. Ἀρχιερεῖς δὲ μνημονευόμενοι ἐν τῇ πράξει εἰσὶν οἵδε: Ἱερεμίας Χαλκηδόνος, Μελέτιος Θεσσαλονίκης, Καλλίνικος Προύσης, Γρηγόριος Μιτυλήνης, Ἰάκωβος Ἀθηνῶν, Βαρθολομαῖος Ναυπάκτου καὶ Ἄρτης, Παρθένιος Ῥόδου, Γρηγόριος Διδυμοτείχου, Νικηφόρος Εὐρίπου, Μακάριος Δέρκων καὶ Νεοχωρίου, Θεοδόσιος Λιτίτζης.

21. Σιλβέστρου Ἀντιοχείας πρὸς τὴν σύνοδον τῆς ἐν Ῥωσσίᾳ ὀρθοδόξου ἐκκλησίας ἐπιστολὴ εἰρηνικὴ καὶ συλλυπητήριος ἐπὶ τῷ θανάτῳ τοῦ βασιλέως Πέτρου, φ. 80.

22. Μακαρίου Πατμίου ἐπιστολαὶ Ἰακώβῳ καὶ Σιλβέστρῳ Ἀντιοχείας (6 σεπτ. 1733 καὶ 26 ἀπρ. 1734), φ. 82β κέ.

23. Φιλοθέου ἀρχιεπισκόπου Κύπρου ἐπιστολὴ πρὸς τὸν διδάσκαλον Ἰάκωβον (1734) καὶ Γερμανοῦ μοναχοῦ πρὸς τὸν αὐτόν, φύλ. 85—86.

24. Μακαρίου Πατμίου ἐπιστολαὶ δύο Σιλβέστρῳ Ἀντιοχείας (22 φεβρ. 1736) καὶ Ἰακώβῳ (φεβρ. 1733), φ. 88 κέ.

25. Θεοφάνους πρώην τῶν Ἀλεξανδρέων ἀρχιδιακόνου ἐπιστολὴ Σιλβέστρῳ Ἀντιοχείας (29 ἰαν. 1733), φ. 92β.

26. Ἔγγραφον πατριάρχου Ἀλεξανδρείας (σεπτ. 1732) ἀποκαθιστῶντος τὸν προσκυνητὴν (Ἀντώνιον Βυζάντιον) Σπαντωνὴν μέγαν ῥήτορα τοῦ πατριαρχικοῦ θρόνου Ἀλεξανδρείας, φ. 93β. Ἦν δὲ τέως ἐπίτροπος τοῦ Ἀλεξανδρείας ἐν Κ/πόλει.

27. Δοσιθέου Ἱεροσολύμων ἐπιστολὴ ἀπὸ Οὐγκροβλαχίας (13 δεκ. 1679) τῷ λογιωτάτῳ σπαθάρῃ Νικολάῳ, φ. 94β.

28. Νικολάου σπαθάρη τῷ Ἱεροσολύμων Δοσιθέῳ ἀπὸ Μοσχοβίας 7 ἰουλίου 1698, περὶ τῆς «Κιταΐας δουλευούσης» τῆς παρὰ Χρυσάνθου μεταφρασθείσης, φ. 95. Ὅρα τὴν ἐπιστολὴν παρὰ Δαπόντε (Σάθα μεσ. βιβλ. τ. III, σ. 90—95). Τὴν μετάφρασιν δ' ἐξέδοτο ὁ Emile Legrand, Bibl. grecque vulgaire τ. III, σ. 337 κέ.

29. Ἐπιστολὴ Ἰακώβου πρὸς Κριτίαν, φ. 96β.

30. Τύποι διαφόρων ἐπιστολῶν, ἐξ ὧν μνήμης ἄξιαι αἱ ἑπόμεναι. Φύλλ. 136 Μανουὴλ Μαρκάκη καὶ κατὰ καιρὸν βοϊβόνδα Πάτμου, καὶ Παρθενίου καθηγουμένου Πάτμου ἔγγραφον μαρτυροῦν ἀπὸ προσώπου τῆς νήσου ὅτι «ἡ καταδωσὰ ὁποῦ ἔγινε κατὰ τοῦ Παύλου τοῦ Χαντζῆ Γιαννάκη τοῦ υἱοῦ, εἶναι ὅλη ψευδής». Φύλλ. 136β Μακαρίου καθηγουμένου «τῆς καθ' ἡμᾶς Λαύρας» ἐπιστολὴ τῷ ἐπισκόπῳ Συμεών. Ἐπιστολαὶ διάφοροι τοῦ κοινοῦ τῆς νήσου Πάτμου κτλ.

31. Λείψανον τάξεως ὅπως χρὴ δέχεσθαι τοὺς ἐξ Ἑβραίων προσερχομένους τῇ τῶν χριστιανῶν ἐκκλησίᾳ, φ. 150.

32. «Τάξις γινομένη ἐπὶ τοῖς ἀπὸ Σαρακηνῶν ἐπιστρέφουσι πρὸς τὴν καθαρὰν καὶ ἀληθῆ πίστιν ἡμῶν τῶν Χριστιανῶν». Ἀρχ. «Προηγουμένως μὲν ὁ προσιὼν τῇ ὀρθῇ πίστει νηστεύει ἐπὶ ἑβδομάδας δύο», φ. 154.

33. Τάξις γινομένη ὑπὲρ τῶν ἀρνουμένων τὴν πίστιν ἐν γνώσει καὶ ἀνοίᾳ· ἔστι δὲ ἡ διάταξις τοιαύτη. Εἰ μὴ παιδίον συνελήφθη καὶ ἠρνήσατο» κτλ., φ. 159.

34. «Τάξις τελουμένη ἐπὶ χριστιανοῖς μαγαρίσασιν» ἤτοι «ἀγαρηνίσασιν». Ἀρχ. «Λαμβάνει ἐπιτίμιον μὴ φαγεῖν κρέας ἢ ὀψάριον» κτλ., φ. 160β.

35. «Εὐχὴ λεγομένη παρὰ τοῦ ἱερέως ἐπὶ τὴν κεφαλὴν τοῦ μέλλοντος μεταλαβεῖν τῆς ἁγίας κοινωνίας». Ἀρχ. «Ἔκλινε τὸν αὐχένα ὁ σὸς δοῦλος» κτλ., φ. 161β.

36. «Εὐχὴ εἰς ὁδοιπορίαν». Ἀρχ. «Κύριε ὁ θεὸς ἡμῶν, ἡ ἀληθινὴ καὶ ζωηρὰ ὁδὸς» κτλ., φ. 162.

37. «Ἑτέρα εὐχὴ εἰς κόλυβα κεκοιμημένων». Ἀρχ. «Κύριε ὁ θεὸς ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν ἐπικαλουμένων σε» κτλ., φ. 162.

37. «Περὶ Μελχιδικίτων καὶ Θεοδοσιανῶν καὶ Ἀτζιγγάνων». Ἀρχ. «Ἐκ τεσσάρων κακῶν εἰς ἓν συνελθόντων», φ. 162β.

234. Τεῦχος χαρτῷον (0,217 × 0,165) ἐκ σελίδων 347, γραφὲν περὶ τὸ τέλος τῆς ΙΗ' ἑκατ. Καθ' ἑκάστην σελίδα 19 στίχοι (0,145 × 0,11).

(Μαλαξοῦ) νομοκάνων ἐν κεφαλαίοις 398 κατὰ τὸν πίνακα. Ἐπιγραφή· «ἀρχὴ σὺν θεῷ νομοκανόνου ἐκλελεγμένου ὑπὸ πολλῶν θεοφόρων πατέρων. Περὶ κριτοῦ ἤτοι ἀρχιερέως» κτλ. Ἀρχ. «Πρέπει τὸν κριτὴν» κτλ. Ἐν τέλει· «ἡ παροῦσα βίβλος ὑπάρχει ἐμοῦ τοῦ εὐτελοῦς Γερασίμου ἱερομονάχου τοῦ Κρητός». Ἄλλη δὲ σημείωσις μαρτυρεῖ ὅτι ὁ Γεράσιμος παρεχώρησε τὴν βίβλον τῷ ἱερεῖ Δήμῳ ἀντὶ τεσσαράκοντα ἀσλανίων.

235. Τεῦχος χαρτῷον (0,215 × 0,165) ἐκ φύλλων 212, γραφὲν ἔτει 1753. Καθ' ἑκάστην σελίδα 19 στίχοι (0,165×0,11).

Μαλαξοῦ νομοκάνων διῃρημένος εἰς 320 κεφάλαια κατὰ τὸν προτεταγμένον πίνακα. Ἀρχ. «Πρέπει τὸν κριτὴν» κτλ., φ. 21. Ἐν τέλει· «ἐγράφη τὸ παρὸν νόμιμον εἰς τοὺς 1753, ἐν μηνὶ σεπτεμβρίῳ 13 διὰ χειρὸς Γερασίμου ἱερομονάχου τοῦ Κρητὸς καὶ ἁγιοταφίτου τέλος εἴληφεν».

236. Τεῦχος χαρτῷον τῆς ΙΖ' ἑκατ. ἐκ φύλλων 295, συμπεπηγμένον μὲν φιλοκάλως ἀλλὰ βεβλαμμένον διὰ κοπίδος κατὰ τὸν πίνακα, ἐξ οὗ ἀφῃρέθη ποτὲ ἡ ἀναγραφὴ τῶν κεφαλαίων α'—κδ'. Ὕψ. 0,202 καὶ πλ. 0,15. Καθ' ἑκάστην σελίδα 20 στίχοι ἢ ὕψ. 0,16 καὶ πλ. 0,10.

«Νέον νόμιμον πάνυ πλουσιώτατον συναθροισθὲν ἐκ πολλῶν καὶ διαφόρων νομίμων», ἀπὸ φ. 22 κέ. Διαιρεῖται δὲ εἰς 637 κεφάλαια κατὰ τὸν προτεταγμένον πίνακα. Ἀρχ. «Ὁ δεχόμενος τοὺς λογισμοὺς τῶν ἀνθρώπων» κτλ. Τὸ τελευταῖον κεφάλαιον περιλαμβάνει Συμεὼν Θεσσαλονίκης «εὐχὴν συγχωρητικὴν ὑπέρ τινων ἀδελφῶν μετὰ θάνατον ὑπ' ἀφορισμὸν εὑρεθέντων». Μέχρι φ. 33 νόμιμον διὰ τοὺς ἐξομολογοῦντας, ἐντεῦθεν δὲ εὕρηται τὸ α' κεφάλαιον τοῦ κυρίως νομοκάνονος, οὗ ἡ ἐπιγραφή· «Κανόνες συνοδικοὶ καὶ ἀποστολικοὶ καὶ τοῦ μεγάλου Βασιλείου καὶ ἑτέρων ἁγίων νεωστὶ συντεθέντες καὶ συναθροισθέντες ἐκ διαφόρων νομίμων καὶ ἐκτεθέντες κατὰ τάγμα ἑκάστου καὶ βαθμόν, διὰ τὸ ἀσύγχυτον καὶ εὐκόλως εὑρίσκεσθαι».

237. Τεῦχος χαρτῷον (0,22 × 0,165) ἀλλὰ σητόβρωτον, συγκείμενον ἐκ φύλλων 307. Καθ' ἑκάστην σελίδα 28 στίχοι.

Ματθαίου Βλαστάρεως σύνταγμα κατὰ στοιχεῖον κτλ. Ἀρχ. «Τὸ τῶν ἱερῶν καὶ θεῖον χρῆμα» κτλ. Ἐν τέλει· «͵αψδ' ἔτος τὸ σωτήριον ἰαννουαρίῳ ιδ' εἴληφε τέλος ἡ παροῦσα βίβλος ἐκ τῆς τοῦ ἄγ...... ἰδών· ἐγράφη δὲ διὰ χειρὸς κἀμοῦ Κυρίλλου ἱερομονάχου τοῦ ἁγίου τάφου καὶ κόπου καὶ δαπάνης, καὶ εἴτι σφαλερὸν εὕρητε, ἐπιδιορθώσαντες σύγγνωταί(-έ) μοι· ἀνθρώπινον γὰρ πάθος τὸ ἁμαρτάνειν· ὅτι καὶ ἐν βίᾳ καὶ δυναστείᾳ ἐγράφη: — καὶ μέμνησθέ μου ἀδελφοὶ ἐν τῇ ἱερουργίᾳ διὰ τὸν Κύριον. Ἔλαβε δὲ τέλος ἡ βίβλος ἐν τῷ ναῷ τῆς ἁγίας πρωτομάρτυρος Θέκλης ἐπὶ τῆς μακαρίας κυρίου Δοσιθέου πατριαρχείας. Ὁ ἐκ Δελβίνου τῆς παλαιᾶς Ἠπείρου Κύριλλος».

238. Τεῦχος χαρτῷον τῆς ΙΗ' ἑκατ. ἐκ φύλλων 80, ἐξ ὧν ἄγραφά εἰσι τὰ φ. 4—10, 53—58 καὶ 75—80. Ἔσωθεν τῆς δευτέρας πινακίδος σημείωσις ἀνορθόγραφος· «1760 ἐν μηνὶ μαρτίου 5. Κατὰ τὸ ἄνωθεν ἔτος ἐσταχώθη τὸ παρὸν μετὰ καὶ ἄλλα τινὰ βιβλία τοῦ πανοσιωτάτου συναδελφοῦ ἡμῶν κυρίου παπᾶ κὺρ Παρθενίου Ντουράνη· ἐσταχώθησαν λοιπὸν ἐξ ἐμοῦ εὐτελοῦς παπᾶ Γαβριὴλ Ἁγιοπαυλίτου». Ἄλλη σημείωσις ἐν φ. 80 λέγει· «1763: ἔτος ἀπὸ Χριστοῦ ἀπριλίου 16: ἡμέρᾳ τρίτῃ ἐγεννήθη ὁ ἀνεψιός μου Προκόπιος, ὅστις εἰς τὰ 1784 αὐγούστου 15 ἐχειροτονήθη ἱεροδιάκονος καὶ μετωνομάσθη Παρθένιος». Ἀλλὰ καὶ ἔσωθεν τῆς πρώτης πινακίδος γέγραπται τόδε· «͵αψϟα' ἐν μηνὶ ἰανουαρίου κδ' ὑπέλαβον τὴν βίβλον ταύτην παρὰ τοῦ θείου μου Μήτρου. Παρθένιος ἱερομόναχος».

Συλλογὴ διαφόρων κειμένων, ἐξ ὧν σημειῶ τάδε.

1. Βίος καὶ πολιτεία τοῦ ὁσίου Μακαρίου τοῦ Ῥωμαίου τοῦ συνασκήσαντος εἴκοσι μίλια πλησίον τοῦ παραδείσου. Ἀρχ. «Μέγα τίποτες καλὸν εἶναι εἰς τὸν χριστιανὸν» κτλ. φ. 1.

2. Ἀποσπάσματα κανονικά, φ. 23.

3. Ἀδήλου ἐπιστολὴ πρὸς Νίκωνα πατριάρχην Μοσχοβίας. Ἀρχ. «Δεδοξασμένον νὰ εἶναι», φ. 38β—51.

4. Ἀσκητικὸν διήγημα «περὶ τῆς νήσου Σάμου». Ἀρχ. «Προσέτι ἐν τῷ αὐτῷ πελάγει», φ. 52.

5. «Ἱστορία ἣν ἔχουσιν οἱ Ἰουδαῖοι ἐν τῷ τοῦ Ἱεροῦ αὐτῶν κώδικι, ὄντι ἐν τῇ Τιβεριάδι—ἱστορεῖται δὲ καὶ ὑπὸ τοῦ Σουΐδα ἐν τῷ ι στοιχείῳ—μαρτυροῦσα εἶναι τὸν Χριστὸν υἱὸν τοῦ Θεοῦ». Αρχ. «Ἐν τοῖς χρόνοις τοῦ εὐσεβεστάτου βασιλέως» κτλ., φ. 59.

6. «Ἐπιστολὴ ἣν ἔστειλε Πιλᾶτος Πόντιος πρὸς βασιλέα Τιβέριον μετὰ τὸ σταυρωθῆναι καὶ ἀναστῆναι τὸν κύριον ἡμῶν Ιησοῦν Χριστόν, δηλοῦσα τὰ περὶ αὐτοῦ· ἧς ἡ ἐπιγραφὴ ἔχει οὕτως: *ἀναφορὰ Ποντίου Πιλάτου ἡγεμόνος Ἰουδαίας*» κτλ. Ἀρχ. «Πιλᾶτος Πόντιος ὁ τὴν ἀνατολικὴν», φ. 62β.

7. «Ἀντίγραμμα *καίσαρος* Τιβερίου πρὸς Πόντιον Πιλᾶτον κατηγορικὴν δοὺς(-δόντος) τὴν ἀπόφασιν Κουσοραγὰβ καὶ στρατιώτας σὺν αὐτῷ δισχιλίους τὸν ἀριθμόν». Ἀρχ. «Ἐπειδή περ βίαιον», φ. 64β κέ.

239. Τεῦχος χαρτῷον (0,217 × 0,163) ἐκ φύλλων 69, γραφὲν περὶ τὴν τρίτην, ὡς ἔοικε, δεκαετηρίδα τοῦ ΙΗ' αἰῶνος· καθ' ἑκάστην δὲ σελίδα εἰσὶ 18 στίχοι (0,155 × 0,085).

Τοπικῆς συνόδου κατὰ Λατίνων ἐν Κωνσταντινουπόλει συνελθούσης (1722) συγγραφὴ εἰς ἑπτὰ διῃρημένη λόγους, ὧν τὰ κεφάλαια καταγράφονται ἐν τρισὶ φύλλοις· συνῆλθε δὲ ἡ σύνοδος πρὸς διδασκαλίαν τοῦ ἐν Συρίᾳ ὀρθοδόξου ποιμνίου, οὗ μερὶς κατὰ τὴν ἐποχὴν ἐκείνην εὐαπατήτως ἀλλὰ καὶ ἀκουσίως ἐνεπιστεύετο ἑαυτὴν εἰς τὴν σειρήνιον γλῶσσαν τῶν ἐκ δύσεως μοναχικῶν ταγμάτων τῆς αἱρετικῆς ῥωμάνας ἐκκλησίας. Ἐν τῷ προοιμίῳ οὖν (οὗ ἡ ἀρχὴ «Ἂν καλὰ καὶ δὲν ἔλειψε ποτὲ δεινὸς») τάδε λέγει ἡ σύνοδος· «ἀλλὰ καὶ κατὰ τοὺς παρόντας καιροὺς ἀκούομεν εἰς τὰ μέρη αὐτά, ἤτοι εἰς τὰς ἐπαρχίας καὶ πολιτείας τῶν ὀρθοδόξων χριστιανῶν τὰς ὑποκειμένας ὑπὸ τὸν ἁγιώτατον πατριαρχικὸν καὶ ἀποστολικὸν θρόνον τῆς Ἀντιοχείας νὰ ἐμφωλεύουσι καὶ νὰ εἶναι ἐγκατεσπαρμένα λεληθότως εἰς τὰς ψυχὰς καὶ διανοίας τῶν χριστιανῶν τῆς λατινικῆς κακοδοξίας καὶ κακοφροσύνης τὰ δόγματα, ἢ μᾶλλον εἰπεῖν νεωτερίσματα καὶ τῆς ἀληθοῦς πίστεως ἡμαρτημένα καὶ ἀπεσχοινισμένα φρονήματα· τῶν ὁποίων λατινικῶν δογμάτων οἱ ἀρχηγοὶ καὶ διδάσκαλοι εὑρίσκοντες αὐτόθι τινὰς χρι-

στιανοὺς εὐεξαπατήτους δι' ἀμάθειαν καὶ ἄγνοιαν τῶν ὀρθῶν τῆς ἐκκλησίας δογμάτων, καὶ τούτους διαφόροις σοφίσμασι μηχαναῖς τε καὶ κακοτεχνίαις ἐξαπατῶντες καταπείθουσιν αὐτοὺς ἀποστατεῖν μὲν τῆς ἀνατολικῆς τοῦ Χριστοῦ ἐκκλησίας καὶ τῶν ὀρθῶν δογμάτων καὶ πατρικῶν παραδόσεων, πιστεύειν δὲ καὶ ὡς ἀληθῆ παραδέχεσθαι τῆς λατινικῆς ἀπάτης τοὺς νεωτερισμούς. Ὅθεν ὁ τοῦ πατριαρχικοῦ τούτου θρόνου τὴν ἐκκλησιαστικὴν ἀρχὴν θεόθεν κληρωσάμενος μακαριώτατος καὶ ἁγιώτατος πατριάρχης Ἀντιοχείας, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κύριος κύριος Ἀθανάσιος, συναλγῶν καὶ συμπάσχων ἐπὶ τῇ τηλικαύτῃ ψυχικῇ ἀπωλείᾳ τῶν ὑποκειμένων αὐτῷ χριστιανῶν, ἐλθών τε ἤδη σωματικῶς ἐν τῇ βασιλευούσῃ τῶν πόλεων καὶ ἀδελφικῶς συγγενόμενος ἡμῖν τε καὶ τῷ μακαριωτάτῳ καὶ ἁγιωτάτῳ πατριάρχῃ Ἱεροσολύμων, ἤδη ἐν τῇ βασιλευούσῃ διατρίβοντι, καὶ τῇ περὶ ἡμᾶς τῶν συναδελφῶν ἀρχιερέων συνόδῳ ἐκτραγῳδήσας τε καὶ δηλοποιήσας τὴν τηλικαύτην δυστυχίαν καὶ ψυχικὴν βλάβην τῶν εἰρημένων χριστιανῶν εἰς λύπην οὐ μετρίαν καὶ συμπάθειαν καὶ ἡμᾶς προυκαλέσατο ὥστε κοινῶς τε καὶ συνοδικῶς μετὰ τῆς αὐτοῦ μακαριότητος σκέψασθαι καὶ βουλεύσασθαι περὶ τοῦ προκειμένου κακοῦ καὶ περὶ τῆς θεραπείας αὐτοῦ προνοησαμένους γράψαι καὶ φανερῶσαι ὑμῖν πᾶσι τοῖς αὐτόθι χριστιανοῖς μὴ ἐξαπατᾶσθαι ῥαδίως, μηδὲ ἀνοίγειν τὰ ὦτα ταῖς τῶν Λατίνων κενοφωνίαις, ἀλλ' οὐδὲ παραδέχεσθαι τοὺς νεωτερισμοὺς αὐτῶν καὶ ὅσα κατὰ ἀπάτην ψευδῆ καὶ ὀλέθρια δόγματα μὲ σοφιστικὰ ἐπιχειρήματα σπεύδουσι νὰ ἐγκατασπείρουν εἰς τὰς ψυχὰς ὑμῶν· ἀλλὰ ὄντες ὡπλισμένοι μὲ τὰ ὀρθὰ τῆς εὐσεβείας δόγματα καὶ νοήματα νὰ ἀποδιώκητε τὸ ψεῦδος καὶ νὰ μένετε εἰς τὴν ἀληθῆ καὶ πατροπαράδοτόν σας πίστιν». Ταῦτα μὲν ἐν τῷ προοιμίῳ, οἱ δ' ἑπόμενοι ἑπτὰ τῆς συνόδου λόγοι τὰ μὲν ὀρθὰ τῆς καθολικῆς ἐκκλησίας δόγματα σαφῶς ἀναπτύσσουσι, τὰς δ' αἱρέσεις τῆς ῥωμάνας δήλας ποιοῦσι καὶ ψυχολέθρους καταδεικνῦσι. Συνυπεγράψαντο δὲ τὴν συγγαφὴν οἱ πατριάρχαι Κωνσταντινουπόλεως Ἱερεμίας, Ἀντιοχείας Ἀθανάσιος, Ἱεροσολύμων Χρύσανθος καὶ οἱ μητρο-

πολῖται Ἡρακλείας καὶ Ῥαιδεστοῦ Καλλίνικος, Κυζίκου Αὐξέντιος, Νικομηδείας Παΐσιος, Νικαίας Γεράσιμος, Χαλκηδόνος Παρθένιος, Γάνου καὶ Χώρας Γεράσιμος καὶ Σοφίας.

240. Τεῦχος χαρτῷον (0,211 × 0,155) ἐκ σελίδων 140 γραφὲν περὶ τὸ τέλος τῆς ΙΗ' ἑκατ. Καθ' ἑκάστην σελίδα 26 στίχοι (0,172 × 0,11). Σημείωσις· «ἐκ τῶν Παρθενίου μοναχοῦ τοῦ Θεσσαλονικέως».

1. Ἰωάννου Δαμασκηνοῦ πηγὴ γνώσεως μετὰ τοῦ πρὸς Κοσμᾶν Μαϊουμᾶ προοιμίου, οὗ ἡ ἀρχή· «Τὸ μὲν στενὸν τῆς διανοίας» κτλ., σ. 1—121. Migne τ. 94, σ. 521 κέ.

2. Εὐχή, ἧς ἡ ἀρχή· «Κύριε κύριε Ἰησοῦ Χριστὲ συναΐδιε» κτλ., σ. 125—135. Ἐν τέλει· «αὕτη ἡ εὐχὴ ποίημά ἐστι τοῦ καθηγητοῦ μοι κυρίου Προκοπίου Πελοποννησίου, τοῦ καὶ διδασκάλου χρηματίσαντος ἐν τῇ πατριαρχικῇ σχολῇ τῆς Ἱερουσαλήμ [1], ἥτις ἐκφωνήθη παρὰ τοῦ ἰδίου ἐπὶ ἀνομβρίας ἐν τῇ τῶν ἁγίων θεοστέπτων ἐκκλησίᾳ Κωνσταντίνου καὶ Ἑλένης κατὰ τὸ ͵αψπε' ἔτος».

241. Τεῦχος χαρτῷον (0,215 × 0,155) ἐκ φύλλων 293, γραφὲν ὑπερμεσούσης τῆς ΙΗ' ἑκατονταετηρίδος.

(Σωφρονίου Παγκάλου?) ὁμιλίαι καὶ ἄλλα τινὰ θεολογικὰ πονημάτια. Ἐν ἀρχῇ λόγος εἰς τὸ "ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός". οὗ ἡ ἀρχή· «Μεγάλης χαρᾶς μηνύματα». Ἀπὸ φ. 15 λόγος τῇ πρώτῃ κυριακῇ τῶν νηστειῶν, οὗ ἡ ἀρχή· «Ἀνοίγει πᾶσα πρωῒ χαιράμενος». Σημειωτέον ὅτι τοὺς ἑξῆς τέσσαρας λόγους· α') «τοῦ σοφωτάτου ἐπισκόπου Κυθήρων Σωφρονίου τοῦ Παγκάλου [2] λόγος ἐπιτάφιος εἰς τὸ ζωοποιὸν καὶ σωτήριον πάθος τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· τῇ ἁγίᾳ καὶ μεγάλῃ παρασκευῇ λόγος η'», οὗ ἡ ἀρχή· «Ὦ ἐμὲ ἀπείτις ἐκείνη ἡ παλαιὰ Ἑκάβη» κτλ., φ 49β—122. β') «λόγος ἐπιτάφιος καὶ ἐπικήδειος εἰς τὴν θεόσωμον ταφὴν τοῦ Κυρίου».

[1] Κ. Σάθα νεοελ. φιλολογ. σ. 553. Γ. Ζαβίρα νέας Ἑλλάδος σ. 521.

[2] Κ. Σάθα νεοελ. φιλολογ. σ. 417 καὶ 601. Α. Δημητρακόπουλος ἐν τῇ εφημερί? «Κλειώ». ἀριθ. 875.

Ἀρχ. «Ποῖος νὰ μὴν κλαύσῃ», φ. 122 κέ. γ') «λόγος ἐγκωμιαστικὸς εἰς τὴν τριήμερον τοῦ Κυρίου ἀνάστασιν». Ἀρχ. «Ὦ ἡμέρα εὐφροσύνης», φ. 124β. δ') «λόγος ἱστορικὸς εἰς τὴν κυριακὴν πρὸ τῆς Χριστοῦ γεννήσεως». Ἀρχ. «Εἶναι κάποια φυσικὴ συνήθεια, φ. 128 κέ.

242. Τεῦχος χαρτῷον τῆς ΙΖ' ἑκατ. ἐκ φύλλων 378 (0,218×0,16), περιέχον ὁμιλίας ἀδήλου ἱεροκήρυκος διδαχθείσας μεταξὺ τῶν ἐτῶν 1676—1687. Ἀρχ. «Ἔπλασεν ὁ Θεὸς τὸ λογικὸν ζῷον» κτλ.

243. Τεῦχος χαρτῷον (0,211×0,15) ἐκ σελίδων ς'+318, γραφὲν περὶ τὸ τέλος τῆς ΙΗ' ἑκατονταετηρίδος.

«Σύνοψις τῶν ἰασήμων νοσημάτων τοῦ ἀνθρωπείου σώματος, συλλεχθεῖσα ἀπὸ τῆς βίβλου τοῦ ἐξοχωτάτου ἰατροῦ Μιχαὴλ Κοντοπίδου Μαρκέλου Ναξιώτου, τῆς ἐπιγραφομένης Θησαυρὸς τῆς ὑγιείας».

244. Τεῦχος χαρτῷον (0.217×0,16) τῆς ΙΗ' ἑκατ. ἐκ φύλλων 78, ὧν τὰ ἄκρα σητόβρωτα.

1. Ἀσματικοὶ κανόνες εἰς τὴν Θεοτόκον, φ. 1—27.

2. «Ὅρασις ἣν εἶδεν ὁ Σικελὸς Ἀγαθάγγελος ὁ Ἱερώνυμος ἐν Μεσσήνῃ τῆς Σικελίας ἐν τῷ 1279 ἔτει ἐν μηνὶ μαρτίου(-ῳ), ἐν ἡμέρᾳ κυριακῇ τῆς ὀρθοδοξίας, γραφεῖσα παρ' αὐτοῦ ἰδιοχείρως καθὼς εἶδεν· ἔπειτα κατὰ τὸ 1505 ἔτος ἐδόθη εἰς φῶς εἰς τὰ Μεδιόλανα τῆς αὐτῆς Σικελίας παρὰ τοῦ ὁσιωτάτου ἱερομονάχου Ἰακώβου ἐκ τῆς τάξεως τοῦ ἁγίου Βενεδίκτου, νῦν δὲ ἑρμηνευθεῖσα ἐκ τῆς ἰταλικῆς διαλέκτου εἰς πεζὴν φράσιν παρὰ τοῦ ταπεινοῦ ἀρχιμανδρίτου ἤτοι χωρεπισκόπου Πολυανῆς καὶ Βαρδαρῶν, ναὶ μὴν καὶ τῆς ἐν Λειψίᾳ τῶν ὀρθοδόξων ἐκκλησίας ἐπόπτου καὶ συνηγόρου κῦρ Θεοκλήτου τοῦ καὶ Πολυείδου, χάριν εἰδήσεως πᾶσι τοῖς εὐσεβέσι». Ἀρχ. «Ἐγὼ ὁ ταπεινὸς ἀδελφὸς ὑμῶν» κτλ. Πολυάριθμοι ἐκδόσεις παρ' ἡμῖν, περὶ δὲ τοῦ μεταφραστοῦ ὅρα Γ. Ζαβίρα νέας Ἑλλάδος σ. 320—321.

3. Ταρασίου Κ/πόλεως χρησμὸς μετὰ ἑρμηνείας καὶ Ἀφροδιτιανοῦ «περὶ τῶν γενομένων ἐν Περσίδι παραδόξων μυστηρίων

κατὰ τὸν καιρὸν τῆς Χριστοῦ τοῦ θεοῦ ἡμῶν γεννήσεως» κτλ. Ἀρχ. «Ἐκ Περσίδος ἐγνώσθη Χριστός» κτλ., φ. 65.

245. Ἔντυπον βιβλίον, ὅ ἐστι τὸ ἐγχειρίδιον Γαβριὴλ Σεβήρου (Ἑνετίῃσιν 1776), συνδεδεμένον μετὰ χαρτῴου χειρογράφου τεύχους (0,214×0,157) ἐκ φύλλων 114 καὶ περιλαμβάνοντος τὰ ἑπόμενα κείμενα.

1. (Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου) «ἑρμηνεία τῶν ἀντιφώνων». Ἀρχ. «Δεῖ μεν οὖν», φ. 1—64.

2. «Ἐπιστολὴ Ἀλεξάνδρου Ἀλεξανδρείας κοινή», ἧς ἡ ἀρχή· «Ἑνὸς σώματος ὄντος», φ. 65. Migne τ. 18, σ. 572.

3. «Τοῦ αὐτοῦ Ἀλεξάνδρου Ἀλεξανδρείας ἐπιστολή», ἧς ἡ ἀρχή· «Ἡ φίλαρχος τῶν μοχθηρῶν», φ. 67β. Migne τ. 18, σ. 548.

4. «Ἴσον τοῦ πατριαρχικοῦ συνοδικοῦ γράμματος σιγγιλιώδους περὶ τῆς αὐτονομίας τοῦ Σιναίου ὄρους, ὅπερ ἐγεγόνει δι' ἐπιστασίας καὶ προστασίας τοῦ θερμοῦ ἀντιλήπτορος καὶ καλοθελήτου ἡμῶν πανιερωτάτου ἁγίου Νικομηδείας κυρίου Μελετίου καὶ τῶν εὐγενεστάτων ἀρχόντων ἐπιτρόπων μας». Ἀρχ. «Πολλάκις δὲ καὶ τὰ καλῶς», φ. 77. Σιγίλλιον τοῦ Κ/πόλεως πατριάρχου Γαβριὴλ Δ' (1782), ὅπερ εὕρηται κἀν τῷ Κανονικῷ Δικαίῳ σ. 136—141· ἐλλείπει ὅμως ἐκ τοῦ ἐκδεδομένου ἡ ὑπογραφὴ τοῦ Τορνόβου Καλλινίκου, ἀλλὰ καὶ ὁ Νικομηδείας κατὰ τὸ χειρόγραφον οὐχὶ Θεόφιλος ἀλλ' Ἄνθιμος ὠνομάζετο.

5. «Ἀπόκρισις μικρά τις τοῦ μεγάλου ῥήτορος τῆς μεγάλης ἐκκλησίας Μπαλασίου πρὸς τοὺς ἐρωτήσαντας ποῦ δεῖ τίθεσθαι τὴν μερίδα τῆς Παναγίας ἐν τῇ ἱερᾷ προσκομιδῇ». Ἀρχ. «Ἐπειδὴ μὲν ἄνωθεν», φ. 85—114. Σημειοῦται δ' ὅτι συνετάχθη «ἐν ἔτει ͵αψι' ἀπριλίου κβ'». Ἐν τέλει τοῦ τεύχους· «εὔχεσθε πάντες πατέρες μου ὅσιοι τῆς κατὰ Θεὸν ἐπιδόσεως τὸν τέλος τῇ παρούσῃ γραφῇ ἐπιθέντα:—͵αψπη^{ω}, αὐγούστου κε'». Δεύτερον ἀπόγραφον τῆς συγγραφῆς τοῦ Μπαλασίου ἐσημειωσάμην ἔτει 1877 ἐν τῷ καταλόγῳ τῆς ἐν Σμύρνῃ βιβλιοθήκης τῆς εὐαγγελικῆς σχολῆς, σ. 40, ἀριθ. Β—37.

246. Ἐξάδιον χαρτῷον (0,215 × 0,162) γραφὲν τῇ 14 σεπτεμβρίου 1740. — «Μην(ὶ) αὐγούστῳ δεκαπέντε. Μεγαλυνάρια ψαλλόμενα εἰς τὴν κοίμησιν τῆς θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, εἰς ἦχον πλάγιον α'». Ἀρχ. «Μεγαλύνομεν σε Θεοτόκε ἁγνή» κτλ. Φύλ. 11β «τροπάρια ψαλλόμενα τῇ μεγάλῃ μ' εἰς τὴν ἀπόλυσιν τοῦ ἀποδείπνου».

247. Χαρτῷον τεῦχος συναποτελούμενον ἐκ διαφόρων τετραδίων (0,218 × 0,16).

α') Τετράδιον τῆς ΙΖ' ἑκατ. περιλαμβάνον ἐν παραφράσει «τὰ θαυμαστὰ διηγήματα τοῦ μεγάλου πατρὸς Μελετίου» τοῦ νέου. Ἀρχ. «Ἔπαθε καὶ αὐτὸς πληγὴν» κτλ. φ. 1—8.

β') Δύο τετράδια τῆς ιϛ' ἑκατ. ἢ φύλλα 16 περιέχοντα τὰ ἑξῆς κείμενα. 1) «περὶ μνηστείας καὶ ὅτι οὐδέν ἐστι γάμου τε καὶ μνηστείας διαφορὰ εἰς σύστασιν τοῦ θεμιτοῦ καὶ ἐρρωμένου· σημείωμα γεγονὸς ἐπὶ τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Ἰωάννου τοῦ Ξιφιλίνου» μηνὶ ἀπριλίῳ 26 ἡμέρᾳ δ' ἔτους ͵ϛφοδ' ἰνδικτ. δ'. Ῥάλλη καὶ Ποτλῆ συντάγματος τ. V, σ. 51, φ. 9. — 2) «ἑτέρα συνοδικὴ σημείωσις περὶ τοῦ αὐτοῦ κεφαλαίου, καὶ αὕτη περὶ μνηστείας». Ἀρχ. «Μηνὶ μαρτίῳ ιθ' ἰνδ. ε' ἔτους ͵ϛφοε' προκαθημένου Ἰωάννου» κτλ., φ. 10. Συντάγμ. τ. V, σ. 53. — 3) «μηνὶ μαρτίῳ ἰνδικτ. ιε' ἔτους ϛχ', ὑπόμνημα τοῦ κουροπαλάτου καὶ μεγάλου δρουγγαρίου τῆς βίγλας κυροῦ Ἰωάννου τοῦ Θρᾳκησίου, ἐφ' ᾧ καὶ λύσις ἐξεφωνήθη τοῦ βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ τὴν προγεγονυῖαν παρ' αὐτοῦ νεαρὰν περὶ τοῦ γάμου ἐπικυροῦσα καὶ ἄλυτον μένειν ἐπιτάττουσα τὴν μεθ' ἱερολογίας προβαίνουσαν μνηστείαν», φ. 11β. Παρέπεται ἡ λύσις τοῦ βασιλέως. Συντάγματος τ. V, σ. 284.—4) «ἐπιστολὴ πεμφθεῖσα παρὰ τοῦ πάπα Ῥώμης κυρίου Ἀδριανοῦ πρὸς τὸν ἁγιώτατον ἀρχιεπίσκοπον Θεσσαλονίκης κυρὸν Βασίλειον τὸν Ἀχριδηνόν», ἧς ἡ ἀρχή· «Ἐξ ὅτου διὰ τοῦ ἀρχαίου», φ. 17β. Leunclavii, Juris graecoromani pars I, σ. 305.—5) «ἀντιγραφὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Θεσσαλονίκης κυροῦ Βασιλείου τοῦ Ἀχριδηνοῦ πρὸς τὸν πάπαν Ῥώμης κυρὸν Ἀδριανόν», ἧς ἡ ἀρχή·

«Ἀνέγνωμέν σου τὴν ἐπιστολὴν», φ. 19. Leunclavii, Jus graecor. σ. 307.—6) Μανουὴλ Β' Κ/πόλεως περὶ μεταθέσεως ἐπισκόπων συνοδικὴ ἀπόφασις, φ. 20. Συντάγματ. τ. V, σ. 116.—7) σημειώματα δύο τῶν πατριαρχῶν Γεωργίου Ξιφιλίνου καὶ Μιχαὴλ τοῦ Ἀγχιάλου, ἅτινα καταχωρισθήσονται ἐν τοῖς ἀναλέκτοις.—8) «σιγίλλιον τοῦ παναγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ Γερμανοῦ ἐπὶ τοῖς παραλαυρίοις τῶν πατριαρχικῶν μονῶν τίνι ἂν διαφέρειν ὀφείλουσι, γεγονὸς κατὰ μῆνα ἰούνιον τῆς ε' ἰνδικτιῶνος· κατεστρώθη ἐν τῷ σεκρέτῳ τοῦ ἱεροῦ χαρτοφυλακίου». Ἀρχ. «Τὰ περὶ τῶν πατριαρχικῶν», φ. 26β. Συντάγματ. τ. V, σ. 110.—9) «τοῦ αὐτοῦ ἕτερον μηνὶ ἰουνίῳ ε' ἰνδικτ. ιγ'», οὗ ἡ ἀρχή· «Τὰ κατὰ συναρπαγήν», φ. 28. Συντάγματ. τ. V, σ. 112. — 10) Θεοδώρου Βαλσαμῶνος «ἐπιστολὴ πεμφθεῖσα πρὸς τοὺς Ἀντιοχεῖς χάριν τῶν ὀφειλουσῶν τελεῖσθαι νηστειῶν ἑκάστου ἔτους». Ἀρχ. «Ἐκεῖνοι διδάσκουσι», φ. 29. Migne τ. 138, σ. 1336.

γ') Τετράδιον τῆς ΙΖ' ἑκατ., οὗ τέσσαρα φύλλα ἄγραφα. Ἐν ἀρχῇ πίναξ ͵ρκβ' κεφαλαίων τῆς ἑπομένης συγγραφῆς, ἧς μέρος μόνον ἐσημειώθη· «προθεωρία κεφαλαιώδης εἰς καθ' ἓν καὶ ἕκαστον τῶν ἐν τῇ θείᾳ ἱερουργίᾳ γινομένων συμβόλων καὶ μυστηρίων, ποιηθεῖσα παρὰ Ἰωάννου ἱερέως τοῦ Ναθαναήλου». Ἀρχ. «Πολλοὶ χριστιανοὶ ἔρχονται» κτλ., φ. 35β. Ὁ ἱερεὺς Ἰωάννης ἐξέδωκεν Ἑνετίησιν ἔτει 1574 τὴν θείαν λειτουργίαν μετὰ ἐξηγήσεων διαφόρων διδασκάλων, περὶ ἧς ὅρα E. Legrand, Bibliographie hellénique τ. II, σ. 201—205.

δ') Τετράδιον τῆς ιϛ' ἑκατονταετηρίδος, οὗ τὸ κείμενον δίστηλον καὶ ἐκ στίχων 26 καθ' ἑκάστην σελίδα, φ. 41—48. Τεμάχιον ἀκέφαλον καὶ ἀτελευτήτου βίου τοῦ ὁσίου Μελετίου τοῦ νέου, περιληφθὲν ἐν ἓξ μόνον φύλλοις. Ἀρχ. «Ὑπὸ πολλῆς μετριοφροσύνης καὶ τοῦ μὴ θαρρεῖν ἑαυτῷ» κτλ. [1].

[1] Βίους τοῦ ὁσίου Μελετίου παρά τε Νικολάου Μεθώνης καὶ Θεοδώρου Προδρόμου συνταχθέντας ἐξέδοτο ὁ καθηγητὴς Β. Βασιλιεύσκης, παρασυνάψας πρόλογόν τε καὶ μετάφρασιν οἰκείαν εἰς τὴν ῥωσσίδα γλῶτταν. Ὅρα τὸ 17 τεῦχος τοῦ **Православный Палестинскій Сборникъ**, ἐν Πετρουπόλει 1886.

465. Ἀδήλου «τῆς πρακτικῆς γραμματικῆς βιβλίον τρίτον· σύνταξις», ἧς ἡ ἀρχή· «Συμφωνίαι εἰσὶ τρεῖς». Φύλλα 64 ὕψ. 0,206 καὶ πλ. 0,155, γραφέντα περὶ τὸ τέλος τοῦ ιη' αἰῶνος.

466. «Ἱστορία τοῦ ἐμπρησμοῦ τοῦ ναοῦ τοῦ παναγίου καὶ ζωοδόχου τάφου, ἤτοι τῆς Ἀναστάσεως, συντεθεῖσα καὶ στιχουργηθεῖσα παρὰ Νεοφύτου μοναχοῦ ἁγιοταφίτου Κυπρίου, ἐν Ἱερουσαλὴμ ‚αωθ'». Ἀρχ. «Ὦ πολυέλεε Θεὲ» κτλ. Σελίδες 43. Ὕψ. 0,21 καὶ πλ. 0,153.

467. Τεῦχος χαρτῷον ἐκ φύλλων 268 ὕψ. 0,22 καὶ πλ. 0,15. Καθ' ἑκάστην σελίδα 23 ἢ 25 στίχοι (0,16 × 0,09). Εἰς φ. 263β σημείωσις ἔχουσα οὕτως ἀπαραλλάκτως· «† ἐτελειώθη τὸ παρὸν βιβλίον διὰ χειρὸς ἐμοῦ ἁμαρτωλοῦ τάχα καὶ θυτορακενδύτου Διονυσίου τοῦ Πελωπονήσσου, καὶ οἱ ἀναγινώσκοντες εὔχεσθαί μοι διὰ τὸν Κύριον καὶ μὴ καταράσθαι, ὅτι ἀμαθεῖς εἰμὶ τῆς θείας γραφῆς καὶ τῶν ἀντιστίχων· ἔτυχεν δὲ καὶ τὸ ἀθηβόλεον διεφθαρμένον τῶν ἀντιστίχων, καὶ ἐγὼ ἄπειρος καὶ διατῶν

σφαλμάτων μου μή με μέμφεσθαι παρακαλῶ διὰ τὸν Κύριον, ἀμὴ εὔχεσθαι καὶ συγχωρήτε μοι, ὅπως διὰ τῶν ἁγίων ἡμῶν λυτροθῶ τῆς αἰωνίου κολάσεως: ἔτους ς,ϡϟε΄ (1487) ἰνδ. ε΄, μηνὶ ἰουνίω κ΄, ἡμέρα δ΄, ἐν τῇ πόλει Γαζέων: ςϟλνχ΄ωϟλωλχ᾽ψλέκϟποϟλνξθ΄-ϟςλω ἐππθ΄δλχ πλϡϟ΄ναλχψθ΄υθπθϟαχψλ ϡθπενςχ΄ψβω θξβγ» (=Διονύσιος ὃς τὸ ἐπίκλιον Μάϊδος ἐκ κάστ[ρ]ου Κορίνθου τάχα καὶ θυτορακενδύτης· ,αυηζ΄). Εἶτα· «ἐγράφη δὲ διὰ συνδρομῆς καὶ ἐξόδου Κυριακοῦ τοῦ Κυπρίου».

1. Ἀκέφαλος ᾀσματικὴ ἀκολουθία μετὰ συναξαρίου, ψαλλομένη εἰς τὴν μνήμην τοῦ ἁγίου Γρηγεντίου ἐπισκόπου Τεφάρ. Ἀρχ. «Ὁ ἐκ νηδύος μητρὸς ἡγιασμένος», φ. 1 κέ.

2. Βίος καὶ πολιτεία τοῦ ἁγίου «Γρηγεντίου ἀρχιεπισκόπου Τεφὰρ τῶν Ὁμυριτῶν πόλεως τῆς Αἰθιοπίας». Ἀρχ. «Βίον ἀσκητικὸν ἀγαπητοί», φ. 22.

3. Διαλέξεις τοῦ ἁγίου Γρηγεντίου μετὰ τῶν Ἰουδαίων, φ. 141 κέ.

4. «Νομοθεσία τοῦ ἁγίου Γρηγεντίου ὡς ἐκ προσώπου τοῦ εὐσεβοῦς βασιλέως Ἀβραμίου». Ἀρχ. «Τοῦ λυτρωτοῦ ἡμῶν καὶ παντοδυνάμου», φ. 249 κέ.

468. Μαθηματάριον χαρτῷον τῆς ΙΗ΄ ἑκατ. ἐκ φύλλων 333 ὕψ. 0,212 καὶ πλ. 0,155. α΄) «Τὰ εἰς αἰτιατικὴν τοῦ πρώτου εἴδους τῶν ἐνεργετικῶν δοθέντα (θέματα) παρὰ τοῦ λογιωτάτου Ἀνανίου» τοῦ Ἀντιπαρίου. Ἐν τῇ ὤᾳ· «τὸ παρὸν βιβλίον μου ἐξηγήθη ἀπὸ τὸν ἡμέτερον θεῖ[ον] Νεόφυτο[ν]».— β΄) «,αψλ΄ ὀκτωβρίου ιζ΄, θέματα εἰς τὴν γραμματικὴν τοῦ ἐξ ἀπορρήτων» Ἀλεξάνδρου, φ. 194. Εἰς φ. 260· «τέλος τῆς τοῦ ἐξ ἀπορρήτου γραμματικῆς καὶ τῷ Κυρίῳ ἀείμνηστον κλέος· πόνος μὲν ἐμοῦ τοῦ ταπεινοῦ Γεωργίου Χίου, Δαμασκηνοῦ δὲ τοῦ ἐν μοναχοῖς ἐν Λαίρῳ σχολῆς εἰσηγοῦντος· οἱ ἐντυγχάνοντες ἔρρωσθε· κατὰ τὸ ,αψλα΄ δεκεμβρίου α΄».—γ΄) Ἐπιτύμβιον τοῦ ἑρμηνέως Παναγιώτου Μαμμωνᾶ, 22 σεπτ. 1673. Ἀρχ. «Ἐνθάδε κεῖται Παναγιώτου δέμας». — δ΄) Ἐπιτύμβιον εἰς Καλλίνικον β΄ Κ/πόλεως, 8 αὐγούστου 1702. Ἀρχ. «Οἰκουμενικὸν Καλλίνικος»

κτλ.—ε') Ἐπίγραμμα εἰς φρέαρ ὀρυχθὲν δαπάναις μὲν Κωνσταντίνου Βραγκοβάνου ἡγεμόνος Οὐγκροβλαχίας, ἐκλιπαρήσει δὲ Ἱεροθέου Σίδης, 28 ἰουλίου 1705.—ς') Θέματα διάφορα.—ζ') Θεοδοσίου «ἐγκώμιον πρὸς μέδοντα τῆς Βλαχίας». — η') «Ἕτερον πρὸς τὸν αὐτόν».

469. Μαθηματάριον χαρτῷον τῆς ΙΗ' ἑκατ. ἐκ φύλλων 348 ὕψ. 0,21 καὶ πλ. 0,18. Κείμενα· α') «Νικοβούλου πρὸς τὸν υἱὸν» ἔμμετρον, οὗ ἡ ἀρχή· «Τέκνον ἐμὸν μύθους ποθέων» κτλ., φ. 4. — β') Ἰσοκράτους «Νεοκλῆς ἢ συμμαχικός», φ 12.— γ') Ἀντωνίου χρηστοήθεια. — δ') Βασιλείου Καισαρείας ὁμιλία προτρεπτικὴ εἰς τὸ βάπτισμα, φ. 60. — δ') «Παρὰ Νικοβούλου πρὸς τὸν πατέρα». Ἀρχ. «Ὦ πάτερ, εἰ μ' ἔφυσας, βαιὴ χάρις» κτλ., φ. 78. — ε') Γρηγορίου Ναζιανζηνοῦ λόγος εἰς τὸν ἅγιον Ἀθανάσιον, φ. 87.—ς') Ἰσοκράτους πρὸς Δημόνικον, φ. 109.— ζ') Τοῦ αὐτοῦ Βούσιρις, φ. 133. — η') Γρηγορίου Ναζανζηνοῦ ἀπολογητικὸς τῆς εἰς Πόντον φυγῆς, φ. 149. — θ') Εὐριπίδου Ἑκάβη, φ. 206. — ι') «Θεμιστίου λόγος περὶ τῆς φιλονεικίας τοῦ βασιλέως», φ. 251. — ια') «Λυκόφρονος τοῦ Χαλκιδέως Ἀλεξάνδρα τὸ σκοτεινὸν ποίημα καὶ πολυμαθέστατον», φ. 271. — ιβ') Ἡσιόδου ἔργα καὶ ἡμέραι.

470. Τεῦχος χαρτῷον τῆς ΙΗ' ἑκατ. ἐκ φύλλων 159 ὕψ. 0,221 καὶ πλ. 0,16.

1. Μελετίου μοναχοῦ περὶ φύσεως τοῦ ἀνθρώπου. Ἀρχ. «Ὁ μὲν γὰρ Ἱπποκράτης», φ. 1.

2. Ἀνώνυμος ἐπιστολιμαία διατριβή, ἧς ἡ ἐπιγραφὴ «Σελήνη οἰκουμένη». Ἀρχ. «Προσκυνητέ μοι κύριε, τὸ ζήτημα ὁποῦ ἐσεῖς μοὶ προβάλλετε», φ. 73β.

3. «Περὶ τῆς αἰτηθείσης δυνάμεως τῆς τοῦ ἀέρος βαρύτητος». Ἀρχ. «Φιλομαθέστατε κύριε, ἀπειρότατον εἶναι τὸ ὑμέτερον», φ. 80.

4. Λεξικὸν ἐκ τῆς φυσικῆς ἱστορίας. Ἀρχ. «Ἄκορον, ὅμοιον τοῦ κρίνου φύλλα καὶ ρίζες», φ. 83.

5. «Στίχοι ἴαμβοι χρηστοηθείας πλήρεις, παραφρασθέντες

ἀπὸ τοῦ ἑλληνικοῦ εἰσαγωγικῶν χάριν». Ἀρχ. «Ψυχὴ καὶ σῶμα οὐσία βροτῶν πέλει», φ. 104.

6. Γρηγορίου Ναζιανζηνοῦ «ἐπιστολὴ στιχηρὰ πρὸς Σέλευκον τὸν πνευματικὸν αὐτοῦ υἱόν», μετὰ σχολίων, φ. 123.

7. «Κυροῦ Θεοδώρου τοῦ Προδρόμου τετράστιχα ἰαμβεῖα καὶ ἡρῷα εἰς τὰ κεφαλαιωδῶς ῥηθέντα ἐν τῇ παλαιᾷ πάσῃ Γραφῇ», φ. 135 κἑ.

471. Αὐτόγραφον Νεκταρίου πατριάρχου Ἱεροσολύμων. Φύλλα χαρτῷα 48 ὕψ. 0,217 καὶ πλ. 0,165. Καθ' ἑκάστην σελίδα 27 ἢ 28 στίχοι (0,17 × 0,115).

«Νεκταρίου πρώην Ἱεροσολύμων πατριάρχου, ἐνοχλουμένου παρὰ τῶν ἐν Ἱεροσολύμοις φρατόρων, πρὸς ἅσπερ προτείνουσι διδάσκοντες καινὰς διδασκαλίας». Ἀρχ. «Τὰς τῶν μεγίστων πολέμων ἀφορμὰς» κτλ. Ἐν ἀρχῇ τοῦ τεύχους ἐπίγραμμα·

Κρήτη πατρὶς ἐμὴ φίλη, οἱ δὲ τοκῆες ἔθεντο
τλήμονι γειναμένῳ τοὔνομα Νικόλεως,
οἵτινες εὐσεβίῃ πάσῃ οἴκοι μ' ἔτρεφον ἁβρῶς·
εἰκοτέτιν δ' ἥβης ὁππότε μέτρον ἔσχον,
ἀζυγέων βιοτῆς πόθος εἷλέ με, οἵ γε καὶ ἄλλο ἔθεντο
οὔνομά μοι, τὸ νῦν ἔχω, τοῦτο τὸ Νεκτάριος,
νεκταρίης ἀρετῆς ἵν' ἐραστὴς δῆθεν ὑπάρξω·
λῆσε δὲ καὶ τούτους τοὔνομα τὴν ἀρετὴν
ὅττι φέρειν οὐκ οἶδε, θεουδέα δ' ἔργματα κοσμεῖ
πάντας τοὺς ἀγαθοὺς κρείττονα τοὐνόματος.

472. Τεῦχος χαρτῷον τῆς ΙΗ' ἑκατ. ἐκ φύλλων 38 ὕψ. 0,21 καὶ πλ. 0,158. Καθ' ἑκάστην σελίδα 26 στίχοι (0,17×0,118).

1. Ἀδήλου «τῶν Φαίδρου μύθων μετάφρασις εἰς τὴν ἡμετέραν ἁπλῆν διάλεκτον», φ. 1—36.

2. «Προσθήκη τῶν μύθων, πάλαι μὲν ἀπὸ Μαρκβάρδου Γουδίου ἀντιγεγραμμένων ἀπὸ παλαιοῦ τινος χειρογράφου, τανῦν δὲ παρ' ἐμοῦ ἐς φῶς ἐκδεδομένων», φ. 37.

473. Μαλαξοῦ νομοκάνων ἐν κεφ. 309, καὶ «τάξις γινομένη ἐπὶ τοῖς ἀπὸ Σαρακηνῶν ἐπιστρέφουσι πρὸς τὴν καθαρὰν καὶ ἀληθῆ πίστιν ἡμῶν τῶν χριστιανῶν», ἧς ἡ ἀρχή· «Προηγου-

μένως μὲν ὁ προσιὼν» κτλ. Φύλλα 14+175 ὕψ. 0,205 καὶ πλ. 0,16. Καθ' ἑκάστην σελίδα 24 στίχοι (0,19×0,95). Τὸ 303 κεφάλαιον τοῦ νομοκάνονος ἀποτελεῖται ἐκ τύπου διαζυγίου ἐγγράφου τοῦ 1699 ἔτους.

474. Τεῦχος χαρτῷον τῆς ΙΖ' ἑκατ. ἐκ φύλλων 44 ὕψ. 0,205 καὶ πλ. 0,15. Καθ' ἑκάστην σελίδα 17 στίχοι (0,14×0,10).

Λειτουργία τοῦ ἁγίου Βασιλείου ἄνευ τοῦ τέλους, καὶ ἡ τῶν προηγιασμένων· ἐγράφη δὲ παρὰ Παρθενίου ἱερομονάχου, ὃς καὶ ἀφιέρωσε τὸ τεῦχος εἰς τὴν ἐν Ἱεροσολύμοις μονὴν τῆς Θεοτόκου.

475. «Βιβλίον καλούμενον φυλλάδα τῆς ἐκκλησίας τοῦ μεγαλομάρτυρος ἁγίου Δημητρίου (τῆς ἐν Ἱερουσαλήμ), ἐν ᾗ καταγράφονται τὰ τῶν ὀρθοδόξων ὀνόματα καὶ μνημονεύονται εἰς τὰς ἱερὰς μυσταγωγίας, ἅτινα καὶ εἰσὶ σαρανταλείτουργά τε καὶ προθέσεις» (1755 — 1848). Φύλλα χαρτῷα 22 ὕψ. 0,198 καὶ πλ. 0,163. Τὸ τρίτον φύλλον κοσμεῖται μετὰ εἰκόνος τοῦ ἁγίου Δημητρίου· ὀνόματα δὲ ἡγουμένων τῆς αὐτοῦ μονῆς σημειοῦνται τάδε. 1755 Ἱερεμίας Κρὴς πρωτοσύγκελλος—1758 Μητροφάνης ἱερομόναχος—1760 ἀπρ. γ' Νικόδημος ἱερομόναχος Κρής—1768 Ἰάκωβος πρωτοσύγκελλος—1772 Λεόντιος πρωτοσύγκελλος—1773 ἀπριλ. κζ' Βαρνάβας ἱερομόναχος—1781 Ἀγάπιος—Ἰάκωβος—1794 μαΐου 11 Ἀνδρέας—1796 Σαμουὴλ Πελοποννήσιος—1798 Νεόφυτος Κρής—1805 Ναθαναὴλ Ἄνδριος—1810 Γαβριήλ—1811 Ἀρσένιος ὁ ἐκ Πύργου τῆς Πελοποννήσου—1821 Νεόφυτος ὁ ἐκ Λευκοσίας Κύπρου—1846 Ἰωαννίκιος Καισαρεύς.

476. Πεντάδιον γραφὲν παρὰ Ἰωαννικίου τοῦ Ἁγιοσαββίτου καὶ δωρηθὲν παρ' αὐτοῦ Ἰεζεκιὴλ τῷ ἱεροδιακόνῳ. Ὕψ. 0,212 καὶ πλ. 0,158.

«Τίς ἡ τῶν πειρασμῶν αἰτία καὶ τίς ἡ ἐκ τούτων ὠφέλεια, καὶ τίς ἡ διαφορά· ἐκ τῶν πατέρων». Ἀρχ. «Παράμενε τῇ διανοίᾳ» κτλ. Ἐν τέλει· «1787, μαΐου 20».

477. Τεῦχος χαρτῷον τῆς ις' ἑκατ. ἐκ φύλλων 39 ὕψ. 0,205 καὶ πλ. 0,15. Καθ' ἑκάστην σελίδα 16 στίχοι (0,135×

0,08). Ἐν τέλει τοῦ κειμένου ὑπογραφὴ τοῦ Ἱεροσολύμων πατριάρχου Σωφρονίου.

«Σύνοδος ἤγουν τὸ μάζωμα ὁποῦ ἔγινε καὶ ἐμαζόχθη ἐναντία κατὰ τοῦ πατριάρχου Ἰωάννου τοῦ Χρυσοστόμου». Ἀρχ. «Εἰς ταύτην τὴν σύνοδον ἦσαν» κτλ.

478. Λόγοι καὶ βίοι ἁγίων εἰς τουρκικὴν μὲν γλῶσσαν ἀλλὰ χαρακτῆρσιν ἑλληνικοῖς γεγραμμένοι, οὓς μετέφρασεν Ἀναγνώστης ὁ ἐκ Πόρου τῆς ἐπαρχίας Ἰκονίου ἐν ἔτει 1711. Αὐτόγραφον τεῦχος ἐκ σελίδων 421. Ὕψ. 0,202 καὶ πλ. 0,155.

479. Τεῦχος χαρτῷον τῆς ΙΖ' ἑκατ. ἐξ 93 φύλλων ὕψ. 0,208 καὶ πλ. 0,155.

1. Ἀδήλου ἀκέφαλον ὑπόμνημα εἰς τὴν λογικὴν πραγματείαν. α') «Περὶ τῶν πέντε φωνῶν» κεφ. θ'—κε'. Ἀρχ. «Ἡ φωνὴ ἢ ἔναρθρός ἐστιν ἢ ἄναρθρος» κτλ., φ. 1.—β') «Περὶ ὀνόματος καὶ ῥήματος» κεφάλαια ε', ὧν ἡ ἀρχή· «Ὄνομά ἐστι φωνὴ σημαντική» κτλ., φ. 40β.—γ') «Περὶ συλλογισμοῦ καὶ ἀντιστροφῆς» κεφάλαια δ'. Ἀρχ. «Συλλογισμός ἐστι λόγος» κτλ., φ. 52β.—δ') «Περὶ τῶν ὑποθετικῶν συλλογισμῶν». Ἀρχ. «Πᾶς ὑποθετικὸς συλλογισμὸς», φ. 61.—ε') «Ἡ διαίρεσις τῶν τόπων τῶν διαλεκτικῶν· διεῖλεν αὐτοὺς τῶν Ἰταλῶν τις καλούμενος Βοήτιος, οἳ δὴ καὶ μετηνέχθησαν πρὸς τὴν ἑλλάδα διάλεκτον». Ἀρχ. «Εἰδέναι χρὴ ὅτι τεττάρων» κτλ., φ. 64.

2. «Ποίημα Γεωργίου τοῦ σοφωτάτου διακόνου, πρωτέα δὲ καὶ δικαιοφύλακος τοῦ Παχυμέρη ἐκ τῶν εἰς τὸ α' βιβλίον περὶ λογικῆς». Ἀρχ. «Τῶν δὲ ὑποθετικῶν δυσὶ τὸ δι' ἀδυνάτου χρῆται» κτλ., φ. 67—93. Κεφάλαια κθ'.

480. Νικηφόρου Βλεμμίδου ἐπιτομὴ λογικῆς, ἧς ἐν τέλει σημείωσις τοῦ καλλιγράφου· «τέλος λογικῆς Βλεμμίδου φιλοσόφου 1644 εἰς Γιάσιον τῆς Μπογδανίας»· εἶτα «διὰ χειρὸς τοῦ θεοφιλεστάτου ἐπισκόπου Βοθροκτοῦ καὶ Γλυκέων κυρίου Πορφυρίου τοῦ ἐξ Ἰωαννίνων». Ἐν τῷ μετώπῳ τοῦ τρίτου φύλλου «ἐκ τῶν τοῦ Δακιανοῦ Νικολάου τοῦ Γαβριηλίδου» κτλ. Εἰς φ. 140 «τὸ παρὸν βιβλίον ὑπάρχι(-ει) τοῦ Ἰωάννου Ἀποστάκη παχάρνικου».

Φύλλα χαρτῷα 140 ὕψ. 0,208 καὶ πλ. 0,151. Καθ' ἑκάστην σελίδα 17 στίχοι (0,155×0,102).

481. Τεῦχος χαρτῷον τῆς ΙΖ' ἑκατ. ἐξ 82 φύλλων ὕψ. 0,20 καὶ πλ. 0,15. Καθ' ἑκάστην σελίδα 19 στίχοι (0,147×0,92).

Αἱ τρεῖς συνήθεις θεῖαι καὶ ἱεραὶ λειτουργίαι, ἐξ ὧν ἡ τῶν προηγιασμένων προσετέθη γραφεῖσα ἐν ἔτει 1739. Παρέπονται δὲ τὰ ἑξῆς κείμενα· α') «εὐχὴ ἐπὶ μετανοούντων· β') «αἱ ἀπολύσεις τῶν δεσποτικῶν ἑορτῶν, λεγόμεναι εἰς τὸν ἑσπερινὸν εἰς τὸν ὄρθρον καὶ εἰς τὴν λειτουργίαν»·—γ') «τάξις γινομένη ἐπὶ χειροτονίᾳ ἀναγνώστου καὶ ψάλτου»· δ') «τάξις ἐπὶ χειροτονίᾳ ὑποδιακόνου»· ε') ἕτεραι τρεῖς ἐπὶ χειροτονίᾳ ἢ διακόνου ἢ πρεσβυτέρου ἢ ἐπισκόπου.

482. Τεῦχος χαρτῷον τῆς ΙΗ' ἑκατ. ἐξ 29 φύλλων ὕψ. 0,202 καὶ πλ. 0,135.

Ἀδήλου «λόγος τῇ ἁγίᾳ καὶ μεγάλῃ παρασκευῇ», οὗ ἡ ἀρχή· «Ὦ ὑμεῖς οἱ παραπορευόμενοι» κτλ. Εἰς φ. 29· «τέλος εἴληφε διὰ χειρὸς τοῦ ἐν ἱερεῦσιν ἐλαχίστου παπᾶ Χάννα Βηθλεεμίτου»—«καὶ ἐπληρώθη ἡ τιμή του ἀσλανία ι' παρὰ τοῦ πρωτοσυγκέλλου Χρυσάνθου».

483. Τεῦχος χαρτῷον τῆς ΙΗ' ἑκατ. ἐκ 53 φύλλων ὕψ. 0,198 καὶ πλ. 0,142. Ἐγράφη δὲ παρὰ Ἰωαννικίου τοῦ Ἁγιοσαββίτου.

Συλλογὴ μοναχικῶν διηγήσεων καὶ νουθεσιῶν, ἐξ ὧν σημειῶ α') «Θεογνώστου ἱερομονάχου» νουθεσίας, ὧν ἡ ἀρχή· «Βούλει σοι καὶ ἑτέραν σωτηρίας» κτλ. β') «Λόγος τοῦ μακαρίτου πατριάρχου κῦρ Ἐφραὶμ Ἱεροσολύμων». Ἀρχ. «Χρειάζονται τώρα ἀληθῶς διὰ τοὺς ἔξωθεν» κτλ.

484. «Εἰς ἅπασαν τὴν λογικὴν τοῦ Ἀριστοτέλους μέθοδον προδιοίκησις, ἤτοι εἰσαγωγή, συντεθεῖσα παρὰ Γεωργίου ἱερέως Σουγδουρῆ τοῦ ἐξ Ἰωαννίνων». Ἐν τέλει· «τέλος εἴληφε ἡ παροῦσα 1716 ἰουλίου 25». Φύλλα χαρτῷα 38 ὕψ. 0,20 καὶ πλ. 0,145. Καθ' ἑκάστην σελίδα 23 στίχοι (0,143×0,102).

485. Τεμάχιον βιβλίου τῶν ἱερῶν λειτουργιῶν, γραφέντος κατὰ τὴν ΙΖ' ἑκατ. Φύλλα χαρτῷα 45 ὕψ. 0,20 καὶ πλ. 0,15. Ἐπὶ ἀγράφου φύλλου σημείωσις· «καὶ τόδε πρὸς τοῖς ἄλλοις Σερρῶν Ναθαναήλ». Ἀπὸ φ. 1 κέ. Φιλοθέου πατριάρχου Κωνσταντινουπόλεως «διάταξις τῆς θείας καὶ ἱερᾶς λειτουργίας», ἧς ἡ ἀρχή· «Ὅταν μέλλῃ ὁ ἱερεὺς νὰ τελέσῃ τὴν θείαν καὶ ἱερὰν λειτουργίαν, κάμνει χρεία» κτλ.

486. Τεῦχος χαρτῷον τῆς ΙΖ' ἑκατ. (γραφὲν διὰ χειρὸς Νεκταρίου Ἱεροσολύμων) ἐκ φύλλων 51 ὕψ. 0,207 καὶ πλ. 0,138. Καθ' ἑκάστην σελίδα 29 στίχοι (0,16 × 0,09).

«Ἀσπὶς ὀρθοδοξίας ἢ ἀπολογία καὶ ἔλεγχος πρὸς τοὺς διασύροντας τὴν ἀνατολικὴν ἐκκλησίαν αἱρετικοὺς φρονεῖν ἐν τοῖς περὶ Θεοῦ καὶ τῶν θείων ὡς κακοφρονοῦσιν οὗτοι, αὐτοὶ οἱ Καλουῖνοι δηλονότι, συντεθεῖσα παρὰ τῆς ἐν Ἱεροσολύμοις τοπικῆς συνόδου ἐπὶ Δοσιθέου πατριάρχου Ἱεροσολύμων, κατὰ τὸ χιλιοστὸν ἑξακοσιοστὸν ἑβδομηκοστὸν δεύτερον ἔτος τῆς Χριστοῦ ἐνσάρκου ἐπιφανείας». Τὸ πρωτότυπον ἐξεδόθη παρὰ J. Aymon, Monuments authentiques de la réligion des Grecs κτλ. La Haye 1708, σ. 259—446.

487. Τεῦχος χαρτῷον ἐκ φύλλων 170 ὕψ. 0,192 καὶ πλ. 0.156.

Σαμουὴλ Καπασούλη, πρωτοσυγκέλλου τοῦ οἰκουμενικοῦ πατριαρχείου, εἶτα μητροπολίτου Λιβύης καὶ κατόπιν πατριάρχου Ἀλεξανδρείας, αὐτόγραφος κῶδιξ, ἐν ᾧ περιέχονται κυρίως ἔργα αὐτοῦ γραφέντα κατὰ τὸν χρόνον τῆς ἐν τοῖς πατριαρχείοις Κωνσταντινουπόλεως καὶ Ἀλεξανδρείας τακτικῆς ὑπουργίας αὐτοῦ, ἤτοι ἐπιστολαὶ σιγίλλια καὶ συνοδικαὶ πράξεις, ὧν συντάκτης αὐτὸς ὡς ἔοικεν ὑπάρχει [1].

1. Σαμουὴλ Καπασούλη, πρωτοσυγκέλλου τῆς Ἀλεξανδρέων ἐκκλησίας,. ἡρωελεγεῖον ὀκτάστιχον πρὸς τὸν ἡγεμόνα Οὐγκροβλαχίας Ἰωάννην Κωνσταντῖνον Μπασαράμπαν, «διὰ τὸ ὅπερ μέλλει

[1] Τὰ σπουδαιότερα τῶν ἐγγράφων τούτων καταχωρισθήσονται ἐν τοῖς ἀναλέκτοις τῆς ἱεροσολυμιτικῆς σταχυολογίας μου.

τῷ τύπῳ παραδοῦναι οἰκείοις ἀναλώμασι ῥητορικὸν βιβλίον» (26 νοεμβρίου 1692). Ἀρχ. «Ὑψιφαὴς τελέθεις», φ. 2α.

2. «Σαμουὴλ τοῦ μεγάλου πρωτοσυγκέλλου τῆς μεγάλης ἐκκλησίας ἐπίγραμμα ἐπιτύμβιον τῇ κυρίᾳ Αἰκατερίνῃ, μητρὶ τοῦ ἀρχιδιακόνου τῆς μεγάλης ἐκκλησίας κὺρ Γαβριὴλ» (12 ἰαν. 1694). Ἀρχ. «Μητέρ' ἀριστογόνον προέδρου», φ. 2β.

3. Τοῦ αὐτοῦ πρωτοσυγκέλλου ὄντος τῆς Ἀλεξανδρέων ἐκκλησίας, ἡρωελεγεῖον πρὸς τὸν σοφώτατον πάπαν καὶ πατριάρχην Ἀλεξανδρείας Γεράσιμον τὸν Παλλαδᾶν «διὰ τὸ ὅπερ ἐξέθετο οἰκείοις πόνοις βιβλίον ῥητορικὸν» (26 νοεμβρίου 1692). Ἀρχ. «Ἀρχὸς Ἀλεξάνδροιο ἱρᾶς καθέδρας», φ. 3.

3. Προοίμια σιγιλλίων καὶ γραμμάτων πατριαρχικῶν, φ. 4 κἑ.

4. Μελετίου ἀρχιμανδρίτου τοῦ παναγίου τάφου ἐπιτροπικὴ ἀπόδειξις δοθεῖσα «τῷ διασημοτάτῳ καὶ εὐγενεστάτῳ ἐν πραγματευταῖς μισὲρ Ἀμβροσίῳ Ῥάλῃ Χίῳ», περὶ 2500 γροσίων, ἅτινα ἐδάνεισεν ὁ Μελέτιος «εἰς Σμύρνην δι' ὑπηρεσίαν» τοῦ ἁγίου τάφου τῷ Γεωργίῳ Ζαραχάνῃ Χίῳ· τούτου δὲ ἀποβιώσαντος, προτρέπεται ὁ Ἀμβρόσιος ἵνα λάβῃ ἐκ τῆς περιουσίας ἐκείνου τὸ ἀναλογοῦν μέρος τῆς πρὸς τὸν ἅγιον τάφον ὀφειλῆς, φ. 20.

5. Προοίμια σιγιλλίων καὶ πατριαρχικῶν γραμμάτων, φ. 20β—27.

6. Γερασίμου Παλλαδᾶ «τοῦ μακαριωτάτου πατριάρχου Ἀλεξανδρείας πρόλογος εἰς τὸ ὅπερ ἐξέθετο ῥητορικὸν βιβλίον», ἤτοι ἐπιστολὴ πρὸς τὸν Οὐγκροβλαχίας ἡγεμόνα Ἰωάννην Κωνσταντῖνον Μπασαράμπαν. Ἀρχ. «Ἐπειδὴ καὶ οὐχὶ μόνον δι' ἀκοῆς καὶ φήμης», φ. 28. Κ. Σάθα μεσαιων. βιβλιοθ. τ. III, σ. 85—86 καὶ C. Erbiceanu, Cronicarii greci σ. 99—101.

7. Σαμουὴλ Καπασούλη, μητροπολίτου Λιβύης, ἔγγραφον πληρεξούσιον δοθὲν εἰς Πάνον Στράτην καὶ ἐντελλόμενον παραλαβεῖν τὸ παρὰ «τῆς εὐσεβεστάτης καὶ ἐλεημονικωτάτης προκουρατείας σόπρα» δωρηθὲν αὐτῷ ποσὸν ἐξ ἑκατὸν δουκάτων «διὰ τὸ ὑπέρογκον χρέος τῆς ἐξαγορᾶς τῶν εἰς Τρίπολιν τῆς Βαρβαρίας κατενεχθεισῶν αἰχμαλώτων ἕνδεκα ψυχῶν, τοῦ ἱερέως δηλαδὴ Δημητρίου καὶ

τῆς ἰδίας πρεσβυτέρας, ὀκτώ τε τέκνων αὐτῶν καὶ ἄλλης γυναικὸς γηραιᾶς συγγενοῦς αὐτῶν» (ἐν Ἀλεξανδρείᾳ 24 αὐγ. 1703), φ. 29β.

8. Νεοφύτου μητροπολίτου Ἡρακλείας πρᾶξις ἐπὶ χειροτονίᾳ τοῦ πρωτοσυγκέλλου Νικομηδείας Μακαρίου εἰς ἐπίσκοπον Μετρῶν καὶ Ἀθύρων, ἅτε τοῦ ἐν αὐτοῖς ἀρχιερατεύοντος Γεδεὼν παραίτησιν οἰκειοθελῆ ποιησαμένου (μηνὶ μαΐῳ ἰνδικτ. γ', ἔτους 1695). Ἀρχ. «Ὅπερ ψυχὴ ἐν σώματι», φ. 30. Συλλειτουργοὶ δὲ προσκληθέντες ἦσαν ὁ πρώην Καισαρείας Γερμανός, ὁ πρώην Σάμου Ἰγνάτιος καὶ ὁ πρώην Μετρῶν Γεδεών.

9. Προοίμιον σιγιλλίου περὶ ἱερωσύνης συντεθὲν ἐπὶ Διονυσίου δ' πατριάρχου Κ/πόλεως, φ. 32β.

10. Διονυσίου δ' Κ/πόλεως πρᾶξις ἐπὶ χειροτονείᾳ Μελετίου τοῦ Τυπάλδου εἰς μητροπολίτην Φιλαδελφείας (ὀκτ. 1687). Ἀρχ. «Τὴν μὲν διαφορὰν τῶν ἐπιστημῶν» κτλ., φ. 34. Ἰωάννου Βελούδου, Χρυσόβουλλα καὶ γράμματα κτλ., ἐν Βενετίᾳ 1873, σ. 56—61.

11. Παρθενίου α' Κ/πόλεως «πατριαρχικὸς καὶ συνοδικὸς χρυσόβουλλος λόγος» περὶ τῶν προνομίων τοῦ Φιλαδελφείας Ἀθανασίου (μηνὶ μαΐῳ 1644), φ. 36. Ἰωάννου Βελούδου, Χρυσοβ. σ. 32—35.

12. Ἰωαννικίου β' Κ/πόλεως ἐπικυρωτικὸν σιγίλλιον τοῦ αὐτοῦ χρυσοβούλλου λόγου (1651), φ. 37. Ἰωάννου Βελούδου, Χρυσόβουλα κτλ., σ. 36—42.

13. Καλλινίκου β' Κ/πόλεως πρᾶξις ἐπὶ χειροτονίᾳ ἀρχιερέως διὰ τὴν μητρόπολιν Φιλίππων καὶ Δράμας, «ἅτε τοῦ ἐν αὐτῇ ἀρχιερατεύσαντος κὺρ Μελετίου παραίτησιν οἰκειοθελῆ ποιησαμένου ταύτης οἰκειοθελῶς καὶ ἀβιάστως διὰ τὰς κωλυούσας αὐτὸν περιστάσεις» (ὀκτ. 1692), φ. 38β. Ἐξελέγη δὲ ἀντ' αὐτοῦ ὁ ἱερομόναχος Γρηγόριος, τῶν ψήφων γενομένων ἐν Ἀδριανουπόλει παρὰ τῶν ἐκεῖσε ἐνδημούντων ἀρχιερέων Νικαίας Ἰωαννικίου, Ἀδριανουπόλεως Ἀθανασίου, Διδυμοτείχου Ἱερεμίου καὶ Δέρκων Νικοδήμου.

14. Γερασίμου Ἀλεξανδρείας ἀπανταχοῦσα, ἐγχειρισθεῖσα τῷ

μητροπολίτη Λιβύης Σαμουήλ πρὸς συλλογὴν βοηθημάτων ὑπὲρ ἀπολυτρώσεως τῶν προμνησθέντων ἐν Βαρβαρίᾳ χριστιανῶν αἰχμαλώτων (αὐγ. 1730). Ἀρχ. «Τὸ τοὺς ἀτόνως ἔχοντας ἀντιστηρίζειν», φ. 39β.

15. «Τὸ ἴσον τῆς κατὰ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τῆς ἀειπαρθένου Μαρίας δοθείσης ἀποφάσεως ὑπὸ Ποντίου Πιλάτου ἡγεμόνος τῆς Ἰουδαίας κατὰ τὸ ιζ' ἔτος τῆς ἀρχῆς Τιβερίου καίσαρος βασιλέως Ῥωμαίων, καταχρινάσης αὐτὸν εἰς θάνατον σταυρικὸν ἐν μέσῳ δύο λῃστῶν κε' μαρτίου· ἥτις εὑρέθη πρὸ ὀλίγων ἡμερῶν τινων παρ' ἐλπίδα εἰς τὴν χώραν Ἄκυλλαν ἐντὸς πέτρας ὡραιοτάτης, ἐν σιδηρῷ κιβωτίῳ, οὗ ἔνδον ἦν ἕτερον κιβώτιον μαρμάρινον θαυμαστόν, ἔχον κεκλεισμένην τὴν αὐτὴν ἀπόφασιν γράμμασιν ἑβραϊκοῖς γεγραμμένην ἐν μεμβράναις ἔχουσαν οὕτως: Ἔτους ἑπτακαιδεκάτου Τιβερίου» κτλ., φ. 40β. Εὑρέθη δὲ κατὰ τὸ 1580 ἔτος καὶ ἐμφανισθὲν εἰς Κωνσταντινούπολιν ἐβεβαιώθη διὰ τῆς χειρὸς τοῦ πατριάρχου Ἱερεμίου β' μηνὶ ἀπριλίῳ τοῦ 1581 ἔτους.

16. Ἔγγραφον ἔχον αὐτολεξεὶ οὕτω· «† Διὰ τοῦ παρόντος ἐπιβεβαιωτηρίου γράμματος γίνεται δῆλον, ὅτι τοῦ ἐντιμοτάτου ἄρχοντος κυρίτζη Χρυσοσκούλου υἱοῦ τοῦ Γεωργίου πώλησιν τελείαν διὰ χοντζετίου τῆς βασιλικῆς κρίσεως ποιησαμένου τὸ ὀσπίτιον αὐτοῦ πρὸς τὴν τιμιωτάτην ἀρχόντισσαν κυράτζαν Μαρȣώραν Μαυροκορδάτην τὴν ἑαυτοῦ σύμβιον, καὶ δι' ἐνυπογράφου καὶ ἐμμαρτύρου γράμματος ὁμολογησαμένου καὶ ἐπιβεβαιώσαντος ὅτι πᾶσα ἡ περὶ αὐτὸν φαινομένη περιουσία, εἴτε κινητὴ εἴτε ἀκίνητος, ἔστι καὶ λέγεται ἀναμφιβόλως οἰκεία τῆς αὐτῆς κυράτζα Μαρȣώρας, αὐτὸς δὲ ἀμέτοχος ὅλως τῶν τε πραγμάτων καὶ χρημάτων ὁμολογεῖται καὶ πάντη ἀνοίκειος καὶ μέχρι ὀβολοῦ, τῆς δὲ διαληφθείσης ἀρχοντίσσης κυράτζα Μαρȣώρας ἀβιάστως θελησάσης καὶ ἀποφηναμένης ὅτι εἴπερ τύχῃ τῇ αὐτῆς τιμιότητι τῶν τῇδε ἐκδημία πρὸ τῆς τελευτῆς τοῦ ἰδίου συμβίου κυρίτζη Χρυσοσκούλου, τοῦ φυλάττεσθαι τοῦτον εἰρηνικὸν καὶ ἀνεπηρέαστον παρὰ τῶν εὐγενεστάτων ἀρχόντων καὶ κληρονόμων αὐτῆς, εἰς χρῆσιν

ἰδίαν ἔχοντα τὸ ὀσπίτιον καὶ ἐν αὐτῷ κατοικοῦντα καὶ μένοντα μέχρις ἐσχάτης αὐτοῦ ἀναπνοῆς καὶ κατὰ πᾶσαν ὑπηρεσίαν ἐξυπηρετούμενόν τε καὶ κυβερνώμενον, ὁ τιμιώτατος καὶ σοφώτατος ἄρχων μέγας λογοθέτης τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας καὶ ἐξοχώτατος ἑρμηνεὺς τῆς κραταιᾶς βασιλείας κύριος Ἀλέξανδρος ὁ αὐτάδελφος αὐτῆς ὡς ἀπὸ προσώπου αὐτῆς καὶ τῶν λοιπῶν εὐγενεστάτων κληρονόμων τῇ ἀδελφικῇ θελήσει ἐπικαμφθεὶς ὑπεσχέθη ταῦτα πάντα ἀγαθοπροαιρέτως συντηρηθῆναι καὶ ἐν τῷ ὀσπιτίῳ τὸν ἴδιον γαμβρὸν κυρίτζην Χρυσόσκουλον διαμένειν ἄχρι τῆς ἐκείνου ἀποβιώσεως· διὸ καὶ τὸ παρὸν παρὰ τῆς αὐτοῦ ἐξοχότητος ἐπεβεβαιώθη καὶ ἐδόθη τῷ διαληφθέντι ἄρχοντι κυρίτζῃ Χρυσοσκούλῳ εἰς ἔνδειξιν καὶ ἀσφάλειαν, ἐν ἔτει ͵αχϙδʹ, ἐν μηνὶ δεκεμβρίῳ ςʹ», φ. 43β.

17. Γερασίμου Ἀλεξανδρείας τοῦ Παλλαδᾶ, ἐγκύκλιος ἐπιστολὴ πρὸς τοὺς ἐν Αἰγύπτῳ ὀρθοδόξους προτρεπομένους εἰς χρηματικὰς συνδρομὰς διὰ τὴν ἐν Ἀλεξανδρείᾳ μονὴν τοῦ ἁγίου Σάββα. Ἀρχ. «Οἱ ὑπὸ τὸν καθ' ἡμᾶς ἁγιώτατον θρόνον», φ. 44β.

18. Τοῦ αὐτοῦ γράμμα τοῦ μηνὸς ἰανουαρίου ἔτους 1697, δι' οὗ ἀναγορεύεται λογοθέτης τοῦ πατριαρχικοῦ θρόνου Ἀλεξανδρείας ὁ χατζῆ Ἀθανάσιος ὁ ἐξ Ἀτταλείας, φ. 46.

19. Νεοφύτου μητροπολίτου Ἡρακλείας ἔγγραφον ἀποδείξεως ὅτι ὁ ἰατρὸς Ἰωάννης ὁ Μόλυβος κατάγεται ἐκ τῆς αὐτοκρατορικῆς οἰκογενείας τῶν Κομνηνῶν (1695 σεπ.). Ἀρχ. «Μηδὲν ἀποδείξεως ἄνευ» κτλ., φ. 46β. Κατεχωρίσθη δὲ τοῦτο μετά τινων παρατηρήσεών μου ἐν τῷ δελτίῳ τῆς ἱστορικῆς καὶ ἐθνολογικῆς ἑταιρίας τῆς Ἑλλάδος, τ. II, σ. 667—679.

20. Μελετίου Τυπάλδου, μητροπολίτου Φιλαδελφείας, ἔγγραφος ἀπόφασις συνοδικῶς ἐκτεθεῖσα ἐν Βενετίᾳ μηνὶ ἰουνίῳ τοῦ 1700 ἔτους περὶ τῶν κληρονομικῶν δικαίων τοῦ ἐκ Χίου Ματθαίου Καλυμμαύχου. Ἀρχ. «Πρὸς οἰκοδομὴν ὁ θεῖος φησὶ» κτλ., φ. 49β. Ὑπογραφαί: Φιλίππων καὶ Δράμας Γρηγόριος, Λιβύης Σαμουήλ, Ἄνθιμος ἱερεὺς Πρασινίκος, Γεώργιος ἱερεὺς Κύπριος, Μεθόδιος ἱερεὺς Ἀνθρακιώτης, Γρηγόριος ἱερεὺς Μαρᾶς, Μελέτιος

ἱερομόναχος Παπαδόπουλος, Ἰωάννης ἱερεὺς Λαμπούδης καὶ Ματθαῖος Καλόμμαυχος στέργων τὴν ἀπόφασιν.

21. Παρθενίου δ' Κωνσταντινουπόλεως γράμμα συστατικὸν ὑπὲρ Μελετίου τοῦ πρώην Ἀχριδῶν ἀρχιεπισκόπου (1680), ἐν ᾧ λέγονται τάδε· «διὸ δὴ καὶ ὁ τὸ παρὸν ἐπιφέρων μακαριώτατος καὶ λογιώτατος ἀρχιεπίσκοπος πρώην Ἀχριδῶν τῆς πρώτης Ἰουστιανῆς κύριος Μελέτιος... ὑπ' ἀνάγκης καὶ στενοχωρίας τῶν ἀνυποφόρων χρεῶν τῆς ῥηθείσης ταύτης ἀρχιεπισκοπῆς Ἀχριδῶν, συμβάντων ἀπό τε τῶν τοῦ καιροῦ ἀνωμαλιῶν, ἀπό τε τῆς τῶν κρατούντων καταδυναστεύσεως καὶ ἀπὸ τῶν πρὸ τούτου χρηματισάντων ἐκεῖσε ἀρχιεπισκόπων, τῆς τε ἀρχιεπισκοπῆς ταύτης ἀπέστη καὶ τὴν προστασίαν ἐκείνης καὶ διοίκησιν ἐναπέθετο ἄλλῳ, φιλήσυχος ὢν καὶ τὴν εἰρηναίαν ζωὴν ἀσπαζόμενος. Ἀλλὰ τῶν κατὰ τὴν παροῦσαν ζωὴν ἀναγκαίων ὑστερούμενος, τροφῶν δηλονότι καὶ ἐνδυμάτων, ἅτε ἐκεῖθεν ἐξερχόμενος καὶ ἀπορῶν τούτων δεῖν ἔγνωκε προσδραμεῖν εἰς τὴν ἐλεημοσύνην καὶ βοήθειαν καὶ συνδρομὴν τῶν φιλευσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, ὅπως τὰ τῆς ἐνδείας καὶ ἀπορίας αὐτοῦ διὰ τῆς ἐκείνων βοηθείας καὶ ἐλεημοσύνης θεραπεύσῃ. Καὶ καθ' ὁδὸν ἐντυχὼν τῇ ἡμῶν μετριότητι ἐζήτησε τὸ παρὸν συστατικὸν γράμμα» κτλ., φ. 51.

22. Γαβριὴλ β' Κωνσταντινουπόλεως συνοδικὴ ἀπόφασις τῆς 12 ἰαν. 1702 περὶ τοῦ ἱεροκήρυκος Ἠλιοῦ Μηνιάτη, φ. 52β. Ἐξεδόθη δὲ ἀπὸ τοῦ παρόντος ἀντιγράφου ἐν τ. XV τῆς Πανδώρας, σ. 589—590.

23. Γερασίμου Ἀλεξανδρείας ἐπιστολὴ πρὸς τὸν Μοσχοβίας πατριάρχην ὑπὲρ τοῦ ζημιωθέντος κατὰ ναυτικὸν ἐμπόριον Ἰωάννου λογοθέτου Ἀλεξανδρείας (1672). Ἀρχ. «Πολλὰς μὲν καὶ πολυτρόπους πρὸς ἀρωγὴν», φ. 53β.

24. Τοῦ αὐτοῦ ἀναφορὰ πρὸς τὸν μέγαν μάγιστρον Μάλτας ὑπὲρ τοῦ λογοθέτου τῆς Ἀλεξανδρέων ἐκκλησίας Ἀλεξάνδρου, οὗ τὸ πλοῖον διήρπασαν χριστιανοὶ κουρσάροι (1672). Ἀρχ. «Κατὰ τὴν Αἴγυπτον ὅπου παροικοῦμεν» κτλ., φ. 54.

25. Προοίμιον ἐγγράφου περὶ ἐλεημοσύνης, οὗ ἡ ἀρχή· «Ὁ

μέγας ἐκεῖνος καὶ οὐρανοδρόμος», φ. 55. Τέλος· «Ἀμβρόσιος Παντοκράτορος . . . Κέρκυρα».

26. Γερασίμου Ἀλεξανδρείας ἔγγραφον καθαιρέσεως κατὰ τοῦ ἱερομονάχου Παρθενίου τοῦ Χίου, υἱοῦ τῆς Μπάρμπαρας, ἐφημερεύσαντος ἐν Καΐρῳ καὶ κατὰ τὴν ἐν Κωνσταντινουπόλει διαμονὴν τοῦ πατριάρχου ἀφελόντος χρηματικήν τινα παρακαταθήκην, δι' ἣν ὁ πατριαρχικὸς θρόνος ζημιοῦται καὶ συκοφαντεῖται (σεπ. 1696). Ἀρχ. «Τοῖς ἀνὰ πᾶσαν πόλιν καὶ χώραν», φ. 59.

27. Τοῦ αὐτοῦ ἔγγραφον καθαιρέσεως κατὰ τοῦ ἱερομονάχου Γαβριὴλ Νταρόδου τοῦ ἐκ Κρήτης, ὃς χρηματίσας μέγας ἀρχιμανδρίτης τοῦ πατριαρχείου ὑπεξήρεσε χρήματα καὶ ἀντικείμενα διάφορα, καὶ τέλος ἀπέδρα ἄφαντος γενόμενος. Ἀρχ. «Πᾶσι τοῖς ὑπὸ σελήνην διατελοῦσι», φ. 57.

28. Τοῦ αὐτοῦ ἔγγραφον καθαιρέσεως κατὰ τοῦ ἐν Ῥαχητίῳ πατριαρχικοῦ ἐπιτρόπου Μελετίου διὰ δολιότητας καὶ κακὰς πράξεις (ὀκτ. 1699). Ἀρχ. «Ἐννοῶν ἐπιμέλειαν», φ. 59β.

29. Τοῦ αὐτοῦ ἀπόκρισις πρὸς κανονικὴν ἐκ Ζακύνθου ἐρώτησιν, εἰ χρὴ θεωρεῖν μοναχὴν τὴν βίᾳ καὶ ἄκουσαν καρεῖσαν Λουκρεσίαν, νεάνιδα ἀρχοντικὴν (νοεμβρ. 1702), φ. 61β.

30. (Διονυσίου δ', πρώην Κωνσταντινουπόλεως) ἐπιστολὴ πρὸς Ἀδριανὸν τὸν πατριάρχην Μοσχοβίας, δι' ἧς συνιστᾶται Χριστόφορος ὁ ἱερομόναχος, ἀντιπρόσωπος διορισθεὶς τῆς ἐν Ἄθωνι μονῆς τῶν Ἰβήρων καὶ ἡγούμενος τοῦ ἐν Μόσχᾳ μετοχίου τοῦ ἁγίου Νικολάου (νοεμβρ. 1694), φ. 63β—65.

31. Ἰωάννου Ἀλεξιοβίτζη καὶ Πέτρου Ἀλεξιοβίτζη, αὐτοκρατόρων Ῥωσσίας, ἐπιστολὴ πρὸς τὸν Κωνσταντινουπόλεως πατριάρχην Διονύσιον δ' ἀγγέλλουσα τὰς παρ' αὐτῶν γενομένας εὐεργεσίας εἰς τὸν Χαλκηδόνος Γαβριὴλ καὶ τὴν μονὴν τῆς ἁγίας Εὐφημίας (2 ἰουλίου 1694), φ. 66β. Κ. Σάθα, Μεσαιων. βιβλιοθ. τ. III, σ. 79—81. C. Erbiceanu, Cronicarii greci σ. 94—95.

32. Ἀδριανοῦ πατριάρχου Μοσχοβίας ἐπιστολὴ πρὸς τὸν αὐτὸν περὶ τῆς αὐτῆς ὑποθέσεως (μάϊος 1694), φ. 67β. C. Erbiceanu, Cronicarii greci σ. 93—94. Παρὰ Σάθᾳ τεμάχιον, σ. 78.

33. Τοῦ αὐτοῦ πιττάκιον πρὸς τὸν αὐτὸν περὶ τοῦ συλληφθέντος καὶ φυλακισθέντος ἐν Μόσχᾳ καὶ ἐκεῖσε καθαιρεθέντος Ἀρσενίου, ὃς πρῶτον μὲν ἐπίσκοπον Ἰόππης ἑαυτὸν ἐκάλει, εἶτα δ' ἐγνώσθη ὢν ἐπίσκοπος Ἀνδρούσης. Ἀρχ. «Ἀθάνατον χρῆμα ἡ ἀλήθεια», φ. 60β—71.

34. Καλλινίκου β' Κωνσταντινουπόλεως εὐχαριστήριος ἀπάντησις πρὸς τοὺς αὐτοκράτορας Ῥωσσίας περὶ τῶν εἰς τὴν μητρόπολιν Χαλκηδόνος εὐεγεσιῶν αὐτῶν (μάϊος 1695). Ἀρχ. «Ὥσπερ τῷ πυρὶ αὐτομάτως», φ. 71β—73 (Κ. Σάθα, Μεσ. βιβλ. τ. III, σ. 76—78. C. Erbiceanu, Cronicarii greci σ. 90—91). Μεταξὺ τῶν φ. 73 καὶ 128 κεῖνται πολλὰ ἄλλα ἔγγραφα, ἀλλ' αἱ περὶ αὐτῶν σημειώσεις μου καθ' ὁδόν, ὡς ἔοικεν, ἀπώλοντο.

35. Μελετίου Τυπάλδου, μητροπολίτου Φιλαδελφείας καὶ τοποτηρητοῦ καὶ ἐξάρχου «τοῦ οἰκουμενικοῦ θρόνου ἐν ὅλῳ τῷ στάτῳ τῆς γαληνοτάτης τῶν Ἑνετῶν ἀριστοκρατίας», ἐγκύκλιος ἐπιστολὴ πρὸς τοὺς ὀρθοδόξους τῶν ἐνετικῶν κτήσεων, δι' ἧς ἀγγέλλεται ὅτι τὸ «ἱερὸν τῆς ἐξαρχίας λειτούργημα» ἀνετέθη «τῷ ἐν ἱερομονάχοις εὐσεβεστάτῳ καὶ λογιωτάτῳ κὺρ Ἰωάννῃ Στάγγῃ τῷ ἐκ πόλεως Κυδωνίας τῆς Κρήτης», καὶ ὅτι δέον αὐτὸν «λέγεσθαι περιοδευτὴν καὶ μέγαν θεολόγον καὶ διδάσκαλον ὅπου περ ἂν τύχῃ»· λεπτομερῶς δὲ ἀναγράφονται καὶ τὰ λοιπὰ αὐτοῦ προνόμια, ὡς τὸ ἀποκείρειν μοναχοὺς καὶ μοναχάς, ἀναγνώστας σφραγίζειν, ἐπιγονάτιον φέρειν καὶ πολυσταύριον φαιλόνιον ἀμφιέννυσθαι κτλ., 16 ἰουλίου 1697. Ἀρχ. «Πᾶσι τοῖς ὑπὸ τὴν γαληνοτάτην» κτλ., φ. 129 κέ.

36. Καλλινίκου β' Κωνσταντινουπόλεως ἐγκύκλιος ἀκυροῦσα τοὺς τίτλους Μελετίου τοῦ Τυπάλδου,· καταδικάζουσά τε ὀξέως τὰς ἀξιώσεις αὐτοῦ καὶ καταργοῦσα τὸ κῦρος τοῦ ὑπὲρ Ἰωάννου Στάγγη προσημειωθέντος γράμματος (αὐγ. 1698). Ἀρχ. «Οἱ κατὰ πᾶσαν τὴν ἄσπρην θάλασσαν», φ. 128β. Ὑπογραφαί: Νεόφυτος Ἡρακλείας, Κυζίκου Κύριλλος, Παρθένιος Νικομηδείας, Γαβριὴλ Χαλκηδόνος, Ἰγνάτιος Θεσσαλονίκης, Νικόδημος Δέρκων.

37. «Ἀναφορὰ τῶν ὁμογνωμόνως διακειμένων Γραικῶν τινων

τῷ Φιλαδελφείας εἰς τὰς Ἑνετίας», ἤτοι ἐπιστολὴ αὐτῶν πρὸς τὸν Κωνσταντινουπόλεως Γαβριὴλ καὶ τὴν περὶ αὐτὸν σύνοδον ὑπὲρ τοῦ Μελετίου Τυπάλδου, ὃν λέγουσι κατεσυκοφάντησεν ὁ εἰς Κωνσταντινούπολιν παραγενόμενος ἱερεὺς Ἠλίας Μηνιάτης (12 ἀπρλ. 1705). Ἀρχ. «Κάλλιστον ὥσπερ πάντως», φ. 131.

38. Γαβριὴλ β' Κωνσταντινουπόλεως γράμμα συνοδικὸν σιγιλλιῶδες περὶ τῆς μονῆς «Παναγίας Ῥευματικῆς καὶ Χρυσοσπηλαιοτίσσης», τῆς ἐν τῷ χωρίῳ Μεγάλης Βρύσεως κατὰ τὴν ἐπαρχίαν Βρεστένης ἐν Πελοποννήσῳ, ἣν ἀνέκτισεν «ὁ ἐντιμότατος ἄρχων κῦρ Ζαχαρίας τοῦ Θεοδωρῆ Μακρῆ, ὁ κασάπ-μπασᾶς τοῦ βασιλικοῦ χάσ-μπαχτζὲ καὶ μουσελίμης» (φεβρ. 1704). Ἀρχ. «Δεῖξον τὴν πίστιν σου», φ. 132.

39. Σαμουὴλ Καπασούλη ἐπιστολὴ ἀνεπίγραφος πρὸς ἀρχιερέα, ἧς ἡ ἀρχή· «Προβάλλεται πᾶσιν ἡ διάθεσις», φ. 135β.

40. Ἑτέρα πρὸς λόγιον ἄνδρα, ἧς ἡ ἀρχή· «Οὐκ ἐξ ὁμιλίας καὶ συναναστροφῆς», φ. 136β.

41. «Τὸ περὶ ἀρχιερωσύνης ὑπόμνημα» κατὰ τὸν τύπον τοῦ 1600 ἔτους, φ. 137.

42. Τύπος τοῦ μικροῦ μηνύματος μετὰ τῆς τυπικῆς διατάξεως, φ. 137.

43. «Ἑρμηνεία θέλωντας νὰ κάμῃς μελάνι τοῦ τυπώματος». Ἀρχ. «Ἔπαρε μίαν ὠκὰν καναβόλαδον», φ. 138.

44. Λαυρεντίου Καββάκου ἐπιστολὴ πρὸς Γεώργιον Κορέσσιον, ἧς ἡ ἀρχή· «Μέγα τι καὶ ὑπέρογκον», φ. 139. Ἀπὸ ἄλλου ἀντιγράφου ἐξέδωκα αὐτὴν καταχωρίσας ἐν τῷ Ἑλλ. Φιλ. Συλλ. τ. XVII, σ. 58—59 καὶ 80—81.

45. Τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν. Ἀρχ. «Ὑποβέβηκε μὲν ἀναντιρρήτως», φ. 139β. Ἑλλ. Φιλλ. Συλλ. τ. XVII, σ. 81.

46. «Τὸ παρὸν γράμμα ἔστειλεν ὁ μέγας δραγουμᾶνος (Ἀλέξανδρος Μαυροκορδᾶτος) πρὸς τὸν ἀρχιεπίσκοπον Σινᾶ ὄρους ἀπὸ Ἀδριανουπόλεως εἰς Κωνσταντινούπολιν, ὅτε ἦλθε νὰ εἰρηνεύσῃ μετὰ τοῦ Ἱεροσολύμων πατριάρχου» (28 δεκ. 1694). Ἀρχ. «Ἐπαινῶ τὸν ὑπὲρ εἰρήνης», φ. 140β.

47. Ἀλεξάνδρου Μαυροκορδάτου ἐπιστολὴ πρὸς ἱερέα τῇ 30 μαρτίου 1694. Ἀρχ. «Ἐγκαλεῖς μοι, ὦ θεσπεσία», φ. 48.

48. Μελετίου Τυπάλδου, μητροπολίτου Φιλαδελφείας, ἀπαντα-χοῦσα ὑπὲρ Δημητρίου ἁγιογράφου τοῦ Κρητὸς ἱερέως, τοῦ σὺν τοῖς ὀκτὼ τέκνοις καὶ τῇ συζύγῳ ζωγρηθέντος ὑπὸ πειρατῶν καὶ εἰς Τρίπολιν τῆς Βαρβαρίας αἰχμαλώτου κομισθέντος, κἀκεῖθεν πάλιν διὰ τοῦ Λιβύης Σαμουὴλ ἐξαγορασθέντος (ἀπριλ. 1701), φύλλ. 142β.

49. Σαμουὴλ Λιβύης συστατήριον γράμμα δοθὲν τῷ παρ' αὐτοῦ χειροτονηθέντι διακόνῳ Νικηφόρῳ (ἀπρ. 1697). Ἀρχ. «Μηδένα τῶν ἱερωθέντων», φ. 144β.

50. «Οἱ βασιλεῖς καὶ ῥηγάδες τῆς οἰκουμένης», φ. 145.

51. Πολυχρονισμοὶ τῶν πατριαρχῶν Καλλινίκου Γαβριὴλ Κυπριανοῦ καὶ Ἀθανασίου Κωνσταντινουπόλεως, Σαμουὴλ Ἀλεξανδρείας, Κυρίλλου Ἀντιοχείας, Χρυσάνθου Ἱεροσολύμων, Ἀδριανοῦ Μοσχοβίας, Γερμανοῦ καὶ Ἰακώβου ἀρχιεπισκόπων Κύπρου, φ. 146.

52. «Αἱ ἐπαρχίαι τῆς ἀρχιεπισκοπῆς Ἀχριδῶν καὶ ὁ τίτλος αὐτῆς», φ. 146β.

53. «Αἱ ἐπαρχίαι τῆς ἀρχιεπισκοπῆς Ὑπεκίου καὶ αἱ ἐπισκοπαὶ αὐτῆς», φ. 147.

54. «Ὅσοι πατριάρχαι ἐπατριάρχευσαν εἰς τὴν Κωνσταντινούπολιν ἀφ' οὗ ἐβασίλευσαν οἱ Τοῦρκοι ἐν αὐτῇ», φ. 147β.

55. Τύπος ὁμολογίας πίστεως ὑποψηφίου ἀρχιερεώς, φ. 148.

56. «Ἡ τάξις τῆς χειροτονίας τοῦ ἀρχιερέως». Ἀρχ. «Τίθενται ἐν μέσῳ τῆς ἐκκλησίας», φ. 149.

57. «Κατάλογος τῶν ἀρχιερέων τοῦ οἰκουμενικοῦ θρόνου», τοῦ τε κλίματος Ἀντιοχείας καὶ Ἱεροσολύμων καὶ Κύπρου, φύλλ. 149β—153.

58. «Ὁ κατάλογος τῶν ἀρχόντων τῆς αὐθεντίας Οὐγκροβλαχίας», φ. 153β.

59. Ἐπισκοπαὶ τῆς μητροπόλεως Οὐγκροβλαχίας, φ. 155.

60. Φῆμαι τῶν αὐθεντῶν Βλαχίας καὶ Μπογδανίας, καὶ ἡ τοῦ Μάνζα-μπέη, ἤτοι τοῦ ἡγεμόνος Ἀκαρνανίας καὶ Αἰτωλίας, φ. 55β.

61. Σαμουὴλ Καπασούλη αὐτοβιογραφικαὶ σημειώσεις ἀπὸ ἔτους 1661 μέχρις ἔτους 1701, φ. 156.

62. Διονυσίου δ' Κωνσταντινουπόλεως εἰρηνική, ἤτοι ἀγγελτικὸν γράμμα πρὸς τὸν Ἀλεξανδρείας Γεράσιμον περὶ τῆς εἰς τὸν οἰκουμενικὸν θρόνον ἀποκαταστάσεως αὐτοῦ (αὐγ. 1693). Ἀρχ. «Εἰς ἐμμελῆ κατασκόπησιν», φ. 156β.

63. Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν φιλικὸν γράμμα (ὀκτ. 1693), οὗ ἡ ἀρχή· «Ἅμα μὲν εἶναι τοὺς φίλους», φ. 157β.

64. Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν δεύτερον γράμμα κατὰ νοέμβρ. 1693, φ. 158β.

65. Γερασίμου Ἀλεξανδρείας ἐπιστολὴ φιλική τε καὶ ἐγκωμιαστικὴ πρὸς τὸν μέγαν λογοθέτην Ἰωάννην Καρυοφύλλην, γραφεῖσα μουνυχιῶνος ὀγδόῃ ἐπὶ δεκάδι ἔτους 1693. Ἀρχ. «Μικρόν πως ὁ νοῦς», φ. 159β.

66. Σαμουὴλ Καπασούλη ἐπιστολὴ πρὸς ἀνώνυμον λόγιον, ἐξ Αἰγύπτου 16 ἰουλίου 1695. Ἀρχ. «Ἐν ταῖς μετά τινων συνομιλίαις», φ. 161.

67. Τοῦ αὐτοῦ σχέδιον ἐπιστολῆς, φ. 161β.

68. Τοῦ αὐτοῦ ἀνεπίγραφος καὶ ἀχρονολόγητος ἐπιστολὴ πρὸς ἡγεμόνα, οὗ ὁ γαμβρὸς ἐξώσθη τῆς ἡγεμονείας. Ἀρχ. «Πρὸ πολλῶν ἡμερῶν ἐδεξάμεθα», φ. 162.

69. Τοῦ αὐτοῦ ἐπιστολὴ ἀνεπίγραφος, ἧς ἡ ἀρχή· «Πολλὴν ἡμῖν τὴν χαρμοσύνην», φ. 164.

70. Ἑτέρα ὁμοίως, ἧς ἡ ἀρχή· «Ἐγκαλεῖς μοι διὰ τοῦ γράμματός σου», φ. 165.

71. Γράμμα τῆς κοινότητος Χίου πρὸς τὸν Κωνσταντινουπόλεως Γαβριὴλ (9 ἰαν. 1704), φ. 166.

72. Σαμουὴλ Καπασούλη ἐπιστολὴ πρὸς διδάσκαλον εὐχετική τε καὶ ἐπαινετική, ἧς ἡ ἀρχή· «Ἐφέσιόν τι χρῆμα», φ. 166β.

73. Τοῦ αὐτοῦ ἀνεπίγραφος πρὸς φίλον (1693). Ἀρχ. «Τὸ σεβάσμιόν σου τῶν ἑκατέρων», φ. 167.

488. Φύλλα τινὰ χαρτῷα συμπεπηγμένα μετὰ ἐντύπου τεύχους (τοῦ τρίτου βιβλίου τῆς Τουρκογραικίας), ἐν οἷς περιέ-

χονται τὰ ἑπόμενα κείμενα, γραφέντα, ὡς ἔοικε, μεσοῦντος τοῦ ιη' αἰῶνος.

α') «Ἴσον τοῦ σταλέντος γραψίματος παρὰ τοῦ πάπα εἰς Βηρυτὸν ἐν ἔτει ͵αψμδ' ὀκτωμβρίου μηνί». Ἐπιστολὴ πρὸς τὸν πατριάρχην τῶν Ῥωμαίων, ἧς ἡ ἀρχή· «Ὅτε παρέδωκε κύριος ὁ Θεὸς» κτλ.

β') Ἐπιστολὴ τῶν μοναχῶν τῆς μονῆς Βαζελῶνος πρὸς τοὺς αὐτοκράτορας Ῥωσσίας Ἰωάννην Ἀλεξιοβίτζην καὶ Πέτρον Ἀλεξιοβίτζην, πρὸς οὓς γράφουσιν ὅτι ἀποστέλλουσι τὸν ἀρχιμανδρίτην Λαυρέντιον, τὸν ἱερέα Χρύσανθον, τὸν μοναχὸν Γαβριὴλ καὶ τὸν λογιώτατον ἱερέα Γερβάσιον· λέγουσι δὲ αὐτολεξεί· «ὁ παρὼν πανοσιώτατος καὶ λογιώτατος ἡμῶν ἀδελφὸς παπὰ κῦρ Γερβάσιος σπουδάξας χρόνον μερικὸν εἰς τὸν σοφολογιώτατον κύριον κῦρ Σεβαστόν, ὁ ὁποῖος Σεβαστὸς ταχθεὶς εἰς φροντιστήριον ὑπὸ τῶν πολιτῶν Τραπεζοῦντος καὶ μὴ εὐαρεστηθεὶς κατέλιπε τὸ φροντιστήριον, καὶ ἡμεῖς μὴ ὑποφέροντες τὴν στέρησιν αὐτῆς τῆς Θεοῦ σοφίας πέμπομεν αὐτὸν αὐτόθι εἰς τοὺς πόδας ὑμῶν τῶν κραταιῶν βασιλέων. Διὸ δεόμεθα καὶ παρακαλοῦμεν μετὰ δακρύων ἐκ μέσης ψυχῆς καὶ καρδίας τὴν κραταιὰν ὑμῶν βασιλείαν, ἵνα καὶ πρὸς ἡμᾶς ἀνοίξῃ τοὺς ἐνδεεῖς καὶ πτωχοὺς τὰ φιλάνθρωπα καὶ φιλεύσπλαγχνα καὶ φιλελεήμονα σπλάγχνα τῆς πλουσιοβραβεύτου αὐτῆς δωρεᾶς τε καὶ χάριτος, καὶ τὸν μὲν πανοσιώτατον καὶ λογιώτατον παπᾶ Γερβάσιον ἀξιοῦν εἰς τὸ εὐλογημένον (ἐν Μόσχᾳ) φροντιστήριον, φροντίζοντες αὐτῷ τροφῆς καὶ ἐνδύματος, μέλανος καὶ χαρτίου καὶ τῶν ἀναγκαίων βιβλίων, τοῦ ἀμερίμνως καὶ ἀφροντίστως σπουδάζειν χρόνους ὁπόσους βούλεται», εἰς δὲ τοὺς λοιποὺς δώσωσι «μικράν τινα ἐλεημοσύνην διηνεκῆ καὶ ἀδιάλειπτον, τιμῶντας αὐτὴν (τὴν μονὴν) μὲ θεῖον αὐτῆς χρυσόβουλλον, ἀναπληρώνοντας τὴν χρείαν τῶν παλαιῶν ἐκείνων Κομνηνῶν, τῶν μακαρίων καὶ ἀοιδίμων κτητόρων τῆς ἱερᾶς καὶ βασιλικῆς μονῆς Μανουὴλ Βασιλείου Ἀλεξίου καὶ Ἀνδρονίκου, διὰ νὰ ἠμπορέσωμεν ἡμεῖς μὲν οἱ εὐτελεῖς νὰ κυβερνήσωμεν ἀλληλοδιαδόχως τὸ ὑπόλοιπον τῆς ζωῆς ἡμῶν» κτλ. Περὶ δὲ τῆς μονῆς λέγουσιν·

«ἡ ὁποία ᾠκοδομήθη ἐν τοῖς μετὰ τὸν αὐτοκράτορα ἐν μακαρίᾳ τῇ λήξει Ἰουστινιανὸν βασιλέα (χρόνοις) βασιλικῇ χάριτι καὶ προμηθείᾳ, καὶ ἐτιμήθη μὲ χρυσόβουλλα παλαιὰ καὶ ἀφιερώματα πάμπολλά τε καὶ πλούσια· καὶ μετὰ τούτων δὲ βλέποντες τούτου τοῦ ἀειμνήστου Ἰουστινιανοῦ καὶ τῶν λοιπῶν οἱ ἀείμνηστοι καὶ ἀξιομακάριστοι Κομνηνοὶ βασιλεῖς, καθὰ ὁ κώδηξ δηλοῖ, ὅ τε Μανουὴλ καὶ Βασίλειος, Ἀλέξιός τε καὶ Ἀνδρόνικος, ἐτίμησάν την καὶ αὐτοὶ μὲ θεῖα αὐτῶν χρυσόβουλλα καὶ ἀφιερώματα πάμπολλά τε καὶ πλούσια. Ἀλλ' ὅμως εἰς τοὺς ὑστερινοὺς καιροὺς καὶ ἔτι μᾶλλον περίπου τὰ ἐννενήκοντα ἔτη ἀπὸ κάποιον αἰσχρὸν καὶ πολέμιον Ταβίλην ἐπικαλούμενον, ἀσεβέστατον καὶ θηριόγνωμον ἄνθρωπον, ᾐχμαλωτίσθη καὶ αὐτὴ ἡ ἡμετέρα μονὴ μετὰ τῶν πέριξ χωρίων καὶ αὐτῆς τῆς περιωνύμου πόλεως Τραπεζοῦντος, καὶ ἐγυμνώθηκεν αὐτὴ ἡ κατὰ πάντα πλουσιωτάτη καὶ κατὰ πάντα σεβασμιωτάτη καὶ βασιλικὴ μονὴ ἀπὸ ὅλα τὰ παλαιὰ κειμήλια καὶ βιβλία καὶ ἱερὰ ἄμφια, χρυσόβουλλα καὶ κατάστιχα τῶν εὐσεβῶν ἀφιερωμάτων, καὶ ἔμεινεν εἰς πολλοὺς χρόνους ἔρημος καὶ ἀοίκητος, ἕως οὗ ἡ πρόνοια τοῦ Θεοῦ ἐκίνησε μερικούς τινας εὐλαβεῖς ζηλωτάς τε τῆς μοναδικῆς πολιτείας καὶ φιλερήμους ἄνδρας, οἵτινες μετὰ πολλῶν μόχθων καὶ πόνων καὶ ἀναλωμάτων καὶ χρεῶν ἀνεκαίνισαν ἐκ δευτέρου Θεοῦ συμβάλλοντος τὴν περιώνυμον ταύτην καὶ βασιλικὴν μονὴν» κτλ.

γ') Ἰωάννου Σερβάνου Καντακουζηνοῦ Μπασσαράμπα, βοεβόδα Οὐγκροβλαχίας, χρυσόβουλλον διὰ τὴν παρ' αὐτοῦ ἱδρυθεῖσαν μονὴν Κατρατζάνι. Ἀτελές.

δ') «Περὶ τοῦ ποίᾳ ὥρᾳ ἀνέστη ὁ Κύριος ἡμῶν». Ἀρχ. «Ἐναντιοφανῆ δοκοῦσι ταῦτα» κτλ.

ε') «Ἀθανασίου ἱερέως Ἀμβρακιώτου διάλογος, ἐν ᾧ εἰσάγεται πάπας καὶ Πέτρος διαλεγόμενοι, ὁ μὲν πάπας ὡς ἀποθανὼν καὶ παταγῶν αὐτῷ ἀνοιγῆναι τὴν πύλην τῆς βασιλείας, ὁ δὲ Πέτρος ἔσωθεν ἀποκρινόμενος· ἔχει δὲ ὁ διάλογος περὶ τὸ τέλος ἑκάστου στίχου ἓν ῥησίδιον ἐκ τοῦ Πάτερ ἡμῶν». Κείμενον ἔμμετρον, οὗ ἡ ἀρχή· «Πάπας: ἄνοιξόν μοι τὰς πύλας, Πέτρε, τῷ σῷ πάπᾳ».

ς') Ἱερεμίου γ' Κ/πόλεως πρᾶξις ἐπὶ χειροτονίᾳ Ἀνανίου εἰς μητροπολίτην Τραπεζοῦντος. Ἀρχ. «Ἡ ὑπερφυὴς καὶ ὑπεράρχιος». Ὅρα καὶ κώδ. 124, φ. 87β.

ζ') «Ἴσον τοῦ περὶ ἀναβαπτισμοῦ ἐγκυκλίου γράμματος», οὗ ἡ ἀρχή· «Πολλῶν ὄντων τῶν μέσων». Εὐστρατίου Ἀργέντη, Ῥαντισμοῦ στηλίτευσις, ἐν Κ/πόλει 1756, σ. ριγ'. Κ. Οἰκονόμου τὰ σωζόμενα, τ. Ι, σ. 478.

489. Ἀνθολόγιον ἐκκλησιαστικῆς μουσικῆς παρὰ Χρυσάφου τοῦ νέου καὶ Γερμανοῦ νέων Πατρῶν, ἔχον ἐν τέλει σημείωμα ἀνορθόγραφον· «,αψπη' μαρτίου κα' ἐτελειώθη ὑπὸ χειρὸς ἐμοῦ ἐλαχίστου Ἰακώβου ἐκ Σκαφιδίας τοῦ Πελοποννησίου, καὶ οἱ ἔχοντες εὔχεσθε ὑπὲρ ἐμοῦ». Φύλλα 361 στιλπνοῦ χάρτου ὕψ. 0,212 καὶ πλ. 0,158.

490. Πέτρου Πελοποννησίου τοῦ λαμπαδαρίου, ἀνθολογία στιχηραρίου, εἱρμολόγιον καὶ ἀναστασιματάριον. Εἰς φ. 199· «τὸ παρὸν ἐγράφη παρ' ἐμοῦ λαμπαδαρίου τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας Πέτρου τοῦ Βυζαντίου ἐν ἔτει ,αψξε', ἐν μηνὶ δεκεμβρίῳ». Φύλλα 199 ὕψ. 0,219 καὶ πλ. 0,148. Ἐν τῷ μετώπῳ τῆς πρώτης σελίδος· «,αωιγ', ἐκ τῶν τοῦ πατριαρχείου τοῦ παναγίου τάφου».

491. Στιχηράριον μετὰ παρασημάνσεως, ἀκέφαλον, κεκολοβωμένον καὶ βεβλαμμένον δι' ὕδατος. Φύλλα 358 (ὕψ. 0,21 καὶ πλ. 0,156) γραφέντα κατὰ τὰς πρώτας δεκαετηρίδος τοῦ ιη' αἰῶνος.

492. Δύο χαρτῷα τεύχη συμπεπηγμένα (0,205 × 0,102).

α') Καλλινίκου Κωνσταντινουπόλεως διδασκαλία πρὸς τοὺς ἱερεῖς καὶ διακόνους, ἀντιγραφεῖσα ἀπὸ τῆς βιενναίας ἐκδόσεως τοῦ 1791 ἔτους· σελίδες 70.

β') «Νομοκανόνιον πάνυ πλούσιον» ἐν κεφ. σλ'. Ἀρχ. «Ὁ δεχόμενος τοὺς λογισμοὺς» κτλ. Φύλλα 69 γραφέντα ἐν ἔτει 1798 «διὰ χειρὸς Δημητρίου εὐτελοῦς καὶ ἱερόπαιδος». Παρασυνάπτονται τρία φύλλα, ἐν οἷς ἀναγινώσκεται εὐχὴ συγχωρητικὴ καὶ τύπος διαθήκης καὶ προικοσυμφώνου.

493. Στιχηράριον μετὰ παρασημάνσεως ἐκ φύλλων χαρτῴων 344, ὕψ. 0,205 καὶ πλ. 0,15· ἐγράφη δὲ κατὰ τὴν ΙΖ' ἑκατονταετηρίδα.

494. Ἀναστασιματάριον μετὰ τῆς συνήθους περὶ σημαδοφώνων διατριβῆς, ὅπερ ἐγράφη περὶ τὸ τέλος τῆς ΙΗ' ἑκατ. Φύλλα χαρτῷα 126 ὕψ. 0,208 καὶ πλ. 0,153.

495. Τεῦχος ἐκκλησιαστικῆς μουσικῆς περιλαμβάνον τὴν περὶ σημαδοφώνων μέθοδον, κεκραγάρια, ὀκτώηχον καὶ στιχηρὰ διάφορα· ἡ ἀντιγραφὴ δὲ πέρας εἴληφε τῇ 4 μαΐου 1718, διὰ χειρὸς Ἰγνατίου ἱερομονάχου τοῦ ἐκ τῆς νήσου Σκοπέλου. Φύλλα 235 ὕψ. 0,205 καὶ πλ. 0,138.

496. Κατάστιχον ἀδελφάτων τῆς Μακεδονίας ὑπὲρ τοῦ παναγίου τάφου (1780—1792).

497. Στιχηράριον χαρτῷον μετὰ παρασημάνσεως, οὗ ἡ ἀντιγραφὴ ἔληξε τῇ 15 ἰουλίου 1757 διὰ χειρὸς Μιχαήλου τοῦ ἐκ Ῥαιδεστοῦ, υἱοῦ τοῦ ποτὲ Γεωργάκη· ἀνῆκε δὲ πάλαι τῷ ἁγιοταφίτῃ ἱερομονάχῳ Σαμουὴλ τῷ Πελοποννησίῳ. Φύλλα 502 ὕψ. 0,202 καὶ πλ. 0,165.

498. «Εἱρμολόγιον σὺν θεῷ ἁγίῳ, ὅπερ συνετέθη κατὰ τὸ ὕφος τῆς ἁγίας τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας παρὰ τοῦ μουσικολογιωτάτου ἡμετέρου διδασκάλου λαμπαδαρίου κῦρ Πέτρου τοῦ Πελοποννησίου, ἐπ' ὠφελείᾳ τῶν χριστιανῶν». Τὸ τέλος μὲν ἐλλείπει, ἀλλ' ἐγράφη διὰ χειρὸς Πέτρου τοῦ Βυζαντίου, οὗ ἕτερον αὐτόγραφον ὅρα εἰς ἀριθ. 490. Φύλλα χαρτῷα 77 ὕψ. 0,208 καὶ πλ. 0,148.

499. Στιχηράριον χαρτῷον, ἀκέφαλόν τε καὶ κεκολοβωμένον, γραφὲν περὶ τὸ μέσον τῆς ΙΗ' ἑκατ. Ἀνῆκε δὲ πάλαι Εὐγενίῳ ἱερομονάχῳ Ἰβηρίτῃ τῷ ἐξ Αἴνου. Φύλλα 325 ὕψ. 0,205 καὶ πλ. 0,155.

500. Τεῦχος χαρτῷον ἐκκλησιαστικῆς μουσικῆς, περιλαμβάνον ἀνθολογίαν στηχαρίου, ἥτις ἄρχεται ἀπὸ τῆς 7 σεπτεμβρίου. Ἐν τέλει σημείωσις τοῦ καλλιγράφου· «καὶ τόδε ξὺν τοῖς ἄλλοις Ἰωακεὶμ ἱεροδιακόνου Πελοποννησίου ἐκ κώμης παλαιᾶς Πάτρας».

ΙΗ' ἑκατ. Φύλλα 216 ὕψ. 0,193 καὶ πλ. 0,15. Τὰ πρῶτα φύλλα ἐγράφησαν παρ' ἄλλου, ἐνέχουσι δὲ δοξαστικά τινα μετὰ νεανισμάτων.

501. Τεῦχος ἐκκλησιαστικῆς μουσικῆς, ὅπερ ἐπιγράφεται οὕτως· «ἀρχὴ σὺν θεῷ ἁγίῳ τοῦ ἀνθολογίου, περιέχον καὶ τριῴδιον καὶ πεντηκοστάριον, καλλωπισθὲν παρὰ κῦρ Γερμανοῦ ἀρχιερέως νέων Πατρῶν». ΙΗ' ἑκατ. Φύλλα 162 ὕψ. 0,206 καὶ πλ. 0,16.

502. Τεῦχος χαρτῷον (0,213×0,155) γραφὲν ἐν ἔτει 1668 καὶ συγκείμενον ἐκ φύλλων 302, ἐξ ὧν τὰ τελευταῖα ἐγράφησαν παρ' ἄλλης χειρός. Ἀνῆκε δὲ πάλαι Βαρνάβᾳ ἀρχιερεῖ Ναζαρέτ.

1. Ψαλτήριον ἀκέφαλον διῃρημένον εἰς καθίσματα καὶ ἀρχόμενον ἀπὸ τῶν λέξεων· «ὅτι θήσεις αὐτοὺς νῶτον (20, 13). Ἐν τέλει τοῦ 266 φύλλου σημείωσις τοῦ καλλιγράφου ἔχουσα οὕτως ἀπαραλλάκτως· «ὁ ταποινὸς Χριστόφορος καλάμῳ γράψας ταύτην· ὦ πατρὶ μακαρίζω μοι σὺν τῶν λοιπῶν γονέων· — Ἐν ἔτῃ ἀπὸ Ἀδὰμ ζ^{ω}. ρ^{ω}. ο^{ω}. ς^{ω}. ἢ δὲ ἀποΧριστοῦ. α^{ω}. χ^{ω}. ξ^{ω}. η^{ω}. μὴν ἰούνιος ιη'».

2. Δύο εὐχαὶ πρὸς τὴν Θεοτόκον, φ. 267.

3. «Τὸ ἅγιον σύμβολον ῥητορικόν», φ. 271.

4. «Εὐαγγελιστήριον ἀρχαῖον καὶ ἀψευδὲς τοῦ προφήτου Χαλήθ, ἑνὸς τῶν ἑβδομήκοντα τῶν ἐν τῇ παρε(μ)βολῇ τῶν Ἰουδαίων προφητευόντων ἐπὶ Μωυσέου (=ως)». Ἀρχ. «Ἡ μέθοδος αὕτη τῷ προφήτῃ Χαλὴθ ἀπεκαλύφθη δι' ἀγγέλου Κυρίου», φ. 272.

5. Ἀθανασίου Ἀλεξανδρείας «πρὸς Μαρκελῖνον προοίμιον εἰς τὴν ἑρμηνείαν τῶν ψαλμῶν». Ἀρχ. «Ἄγαμαί σε τῆς ἐν Χριστῷ προαιρέσεως», φ. 276.

503. Τεῦχος χαρτῷον (0,20×0,143) τῆς ΙΖ' ἑκατ. ἐκ φύλλων ἠριθμημένων 411, ἐξ ὧν ἐλλείπουσι τὰ φύλλα 1—54 καὶ 56—59. Καθ' ἑκάστην σελίδα 18 στίχοι (0,144×0,09).

1. Βίος ἀκέφαλος τοῦ ἁγίου Χαραλάμπους, ἀρχόμενος ἀπὸ τῶν λέξεων «ὁ Λουκιανὸς πρὸς τὸν ἅγιον», φ. 55.

2. «Λόγος ἁπλοῦς καὶ ὠφέλιμος κατὰ πολλὰ περὶ τοῦ ἀπέχεσθαι τοῦ ἔργου τῆς ἁγίας κυριακῆς» κτλ. Ἀρχ. «Πᾶσαν νύκτα καὶ καθ' ἑκάστην», φ. 69.

3. «Περὶ τοῦ πότε καὶ διὰ τίνα αἰτίαν ἔκοψαν τοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ τὴν χεῖρα καὶ πῶς ἡ ὑπεραγία Θεοτόκος πάλιν τὴν ἐκόλλησεν εἰς τὸν τόπον αὐτῆς». Ἀρχ. «Ὁπόταν ἦτον βασιλεὺς», φ. 76β.

4. «Ὁμιλία περὶ τῶν ἀχράντων καὶ ἀθανάτων τοῦ Χριστοῦ μυστηρίων». Ἀρχ. «Ἕνας σπλαγχνικὸς καὶ γλυκὺς», φ. 86.

5. Λόγοι ἐκλελεγμένοι ἐκ τοῦ γεροντικοῦ πολλὰ ὡραῖοι καὶ ὠφέλιμοι». Ἀρχ. «Διηγήσατο ἡμῖν τις», φ. 110.

6. Μαρτύριον τοῦ ἁγίου Παντελεήμονος. Ἀρχ. «Αἱ ἑορταὶ καὶ αἱ πανηγύρεις», φ. 175.

7. «Περὶ τοῦ ἁγίου Γερασίμου διὰ τὸν λέοντα». Ἀρχ. «Διηγήσατό τις τῶν γερόντων», φ. 208. Παρέπονται διάφοροι περὶ ἄλλων ἀσκητῶν διηγήσεις.

8. Βίος τοῦ ἁγίου Βασιλείου Καισαρείας. Ἀρχ. «Ὁ μέγας καὶ περιβόητος», φ. 331β.

9. Λόγος εἰς τὴν ἀνακομιδὴν τῆς δεξιᾶς χειρὸς τοῦ τιμίου Προδρόμου καὶ περὶ τῶν θαυμάτων αὐτῆς. Ἀρχ. «Ἰδοὺ καὶ πάλιν ἡμῖν», φ. 355β.

10. Βίος τοῦ ἁγίου Ἰωάννου τοῦ Καλυβίτου. Ἀρχ. «Βίον καλὸν καὶ ἀμόλυντον», φ. 363.

11. Βίος τοῦ ὁσίου Ξενοφῶντος. Ἀρχ. «Διηγήσατό τις ἅγιος γέρων», φ. 375.

12. «Λόγος κατ' ἐπιτομὴν διαλαμβάνων περὶ τῆς πρώτης καὶ δευτέρας εὑρέσεως τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου». Ἀρχ. «Πάλιν εἰς ἡμᾶς». φ. 390.

13. Βίος τοῦ ὁσίου Ἀλεξίου. Ἀρχ. «Ἐν ταῖς ἡμέραις τῆς βασιλείας Ὁνορίου», φ. 401.

504. Τετράδιον γραφὲν παρὰ Ἰωαννικίου τοῦ Ἁγιοσαββίτου πνευματικοῦ πατρὸς περὶ τὸ τέλος τῆς παρελθούσης ἑκατονταετηρίδος. Ὕψ. 0,215 καὶ πλ. 0,152.

1. «Εὐχὴ τοῦ μεγάλου Βασιλείου», ἧς ἡ ἀρχή· «Εὐλογῶ σε Κύριε τὸν μακρόθυμον», φ. 1.

2. «Περὶ ταπεινοφροσύνης». Ἀρχ. «Ἐγὼ μὲν Κύριε οὐκ εἰμὶ ἄξιος», φ. 1β.

3. «Λόγος ὠφέλιμος ἐκ θείων πατέρων καὶ εὐαγγελικῶν διδαγμάτων περὶ τῶν ἀποιχομένων, ἀποδεικνύων ὅτι καλόν ἐστι τὸ εὐποιεῖν ὑπὲρ αὐτῶν». Ἀρχ. «Στασιώδης ὁ παρὼν βίος», φ. 2.

4. «Περὶ διαγωγῆς πνευματικῆς». Ἀρχ. «Ἀναγκαιότατον εἶναι ἀκόμη καὶ τοῦτο», φ. 8β.

505. Κατάστιχον ὕψ. 0,375 καὶ πλ. 0,172, οὗ ἡ ἐπιγραφή. «Περὶ τῆς βιβλιοθήκης. Ἐπὶ τῆς θεοδωρήτου εὐκλεοῦς πατριαρχείας τοῦ πατρὸς καὶ πατριάρχου τοῦ κλεινοῦ κυρίου Πολυκάρπου τοῦ ἐξ Ἀγχιάλου, ἐπὶ τῆς θεοδοξάστου ἐπιτροπικῆς τοῦ σεβασμιωτάτου καὶ γεραροῦ ἁγίου Πέτρας κυρίου Μισαὴλ τοῦ ἐξ Ἀγκύρας, τῶν ἀμφοτέρων θεοσόφων καὶ σπουδαίᾳ κρίσει σπουδῇ τε καὶ ἐπιθυμίᾳ, φιλοτίμῳ τε δαπάνῃ, ἀνηγέρθη ἐκ τοῦ μηδενός, ὡς ὁρᾶται, ἡ θαυμαστὴ ἱερά τε αὕτη βιβλιοθήκη εἰς τὸ πατριαρχεῖον, προθυμίᾳ πολλῇ καὶ κόπῳ τοῦ ὁσιωτάτου κυρίου Παρθενίου Θετταλοῦ χαμαράση, σωτηρίῳ ἔτει τῷ ͵αωιζ´ νοεμβ. α´, εἰς μνημόσυνον αἰώνιον». Κατάλογος τῆς ἐν ἔτει 1817 βιβλιοθήκης τοῦ πατριαρχείου Ἱεροσολύμων, ἐπικεκυρωμένος ταῖς ὑπογραφαῖς τοῦ μητροπολίτου Πέτρας Μισαὴλ καὶ ἐπιτρόπου, τοῦ Λύδδης Δοσιθέου, τοῦ Γάζης Θεοδοσίου καὶ τοῦ Φιλαδελφείας Προκοπίου. Εἰς φ. 2 ποιημάτιον Ἀνθίμου τοῦ ἐξ Ἀγχιάλου διὰ τὴν βιβλιοθήκην· εἰς φ. 3 «εἴδησις καὶ διασάφησις περὶ τοῦ καταλόγου», μεθ' ἣν ὁ κατάλογος τῶν τότε ὑπαρχόντων ἐντύπων τε καὶ χειρογράφων βιβλίων.

506. Κατάστιχον ὕψ. 0,34 καὶ πλ. 0,225, οὗ ἡ ἐπιγραφή· «Κατάλογος ἀλφαβητικὸς τῶν ἐν τῇ βιβλιοθήκῃ τοῦ παναγίου τάφου διατηρουμένων χειρογράφων διαφόρων, ἐπὶ περγαμηνῆς ἢ χάρτου γεγραμμένων, καὶ ἐντύπων βιβλίων εἰς διαφόρους γλώσσας, καταστρωθεὶς ἐπὶ τῆς εὐκλεοῦς πατριαρχείας Κυρίλλου τοῦ β´ παρὰ Κυρίλλου Ἀθανασιάδου ἀρχιμανδρίτου τοῦ

παναγίου τάφου καὶ πρώην σχολάρχου τῆς θεολογικῆς τῶν Ἱεροσολύμων σχολῆς. Ἐν Ἱεροσολύμοις 1865». Σελίδες ι'+292. Προοίμιον περὶ τῆς βιβλιοθήκης καὶ κατάλογος ἀλφαβητικὸς συνοπτικώτατος.

507. Κατάστιχον, οὗ ἡ ἐπιγραφή· «εἴδησις καὶ διασάφησις περὶ τοῦ καταλόγου τῆς ἔνδον βιβλιοθήκης».

508. Τεῦχος χαρτῷον ἐκ φύλλων γεγραμμένων 61 ὕψ. 0,30 καὶ πλ. 0,21.

1. Ἀγαθαγγέλου χρησμοί, φ. 2.

2. Παύλου Τζιτζακὸβ ἐπιστολὴ ἀπὸ Βουκουρεστίου (6 ἰουλίου 1812) πρὸς τὸ διβάνι τῆς Βλαχίας, κοινοποιοῦσα τὴν μεταξὺ Ῥωσσίας καὶ Τουρκίας συνθήκην, φ. 19.

3. «Ἄρθρα ἀφορῶντα τὴν Μολδαβίαν καὶ Βλαχίαν, ἤτοι περίληψις τοῦ τρακτάτου τῆς εἰρήνης μεταξὺ τῆς Ῥωσσίας καὶ τῆς Ὀθωμανικῆς Πόρτας, ὑπογραφθέντα εἰς Βουκουρέστιον τῇ 16 μαρτίου 1812», φ. 19β.

4. «Ἡ συνθήκη τοῦ Ἀκκερμανίου· σύμβασις ἐξηγηματικὴ τῆς συνθήκης τοῦ Βουκουρεστίου», γραφεῖσα τῇ 25 σεπτ. 1826, φ. 24.

5. «Ἔγγραφον ἰδιαίτερον ἀναφερόμενον εἰς τὰς ἡγεμονείας Μολδαβίας καὶ Βλαχίας»· ἐγράφη ἐν Ἀκκερμανίῳ τῇ 25 σεπτ. 1826 καὶ ὑπεγράφη παρὰ Μ. Βουροντζὸφ καὶ Ῥομπσπιέρ, φ. 29.

6. «Ἔγγραφον ἰδιαίτερον ἀναφερόμενον περὶ Σερβίας», φ. 32.

7. «Ἄρθρα ἀφορῶντα τὴν Ἑλλάδα», συνταχθέντα ἐν Λονδίνῳ τῇ 24/6 ἰουλίου 1827, φ. 33β.

8. «Προσθήκη εἰς τὰ τῆς Λόνδρας ἄρθρα», φ. 35β.

9. Προκήρυξις αὐτοκρατορικὴ ἀπὸ Πετρουπόλεως 14 ἀπριλίου 1828, φ. 37.

10. «Ἐξηγηματικαὶ παρατηρήσεις» εἰς αὐτὴν παρὰ τῆς Ὑψηλῆς Πύλης, φ. 64.

11. «Μετάφρασις ἀπαράλλακτος μετὰ ἐπιστολῆς τοῦ μεγάλου βεζύρου πρὸς τὸν ἐξοχώτατον Νεσσελρόδην ἀπὸ 27 τοῦ μηνὸς Τζεμὰτ-ζονεβὰλ 1247, ἤτοι 30 νοεμβρίου (12 δεκεμβρίου) τοῦ 1827», φ. 47.

12. «Ἀποκριτικὴ ἐπιστολὴ τοῦ ἐξοχ. κόμητος Νεσσελρόδη πρὸς τὸν μέγαν βεζύρην, 14 ἀπριλίου 1828», φ. 48β.

13. «Συνθήκη εἰρήνης μεταξὺ Ῥωσσίας καὶ τῆς ὀθωμανικῆς Πόρτας, ἐν Ἀδριανουπόλει 2 (14) σεπτ. 1829», φ. 50β.

14. «Ἰδιαιτέρα συμφωνία περὶ τοῦ πριγγιπάτου Μολδαβίας καὶ Βλαχίας», φ. 56.

15. Ὄθωνος βασιλέως τῆς Ἑλλάδος προκήρυξις ἀπὸ Ναυπλίου 1833, φ. 57β.

16. Τοῦ αὐτοῦ ἐγκύκλιος τῇ 20 μαΐου 1835, φ. 59β.

509. Κατάστιχον ἀδελφάτων ὑπὲρ τοῦ παναγίου ταφου, ἅπερ συνεκρότησεν ὁ ζηλωτὴς καὶ ἀκάματος ἁγιοταφίτης Μακάριος ἱερομόναχος ὁ Κρὴς (1649—1669). Φύλλα ἠριθμημένα 286 ὕψ. 0,295 καὶ πλ. 0, 21. Ἐν τῷ πρώτῳ φύλλῳ σημειώσεις τινές, ἐξ ὧν ἀντιγράφω τάςδε· «✝ εἰς τοὺς 1650 σεπτεμβρίῳ 30 εὑρισκόμενοι ἡμεῖς εἰς νῆσο(ν) Λέρο(ν) κυριακῇ βράδι ἐβρόντα ὡσὰν νὰ πολεμοῦν, καὶ ἔλεγαν ὅτι ἐχάλασεν ὁ Θεὸς τὴν Σαντορήνην· ἡμεῖς ἐρχόμενοι εἰς Πάτμον νῆσον ἐψοφοῦσαν τὰ ὀψάρια εἰς τὴν θάλασσαν ἀπὸ τὸν βρῶμο(ν) τῆς Σαντορήνης καὶ τοῦ κηρσῆρα ἕως τὴν Ἀνατολήν.—Ἀκόμη εὑρισκόμενοι εἰς τὰ Κούλλα 1651 μαΐῳ 28, ἔγινε σεισμὸς τετάρτῃ ξημέρωμα ἐν χώρᾳ Χώναις καὶ Λαοδίκειαν. καὶ ἐσκοτώθησαν Ἀγαρηνοὶ 700· χριστιανὸς οὐδείς.—1654 ἔγινε σεισμὸς φοβερὸς εἰς τὸ Κιζὴλ-ἀσσάρη καὶ ἀνωκάτησε πόλι κάστρο καὶ μιναρέδες, καὶ ἐθανατώθησαν Ἀγαρηνοὶ καὶ ζῷα πολλά». Ὄπισθεν τοῦ αὐτοῦ φυλλου σημειοῖ ὁ Μακάριος, ὅτι ἀφίκετο ἐκ Κρήτης εἰς Ἱεροσόλυμα ἐν ἔτει 1648· κατωτέρω δὲ ἀπαριθμεῖ τοὺς ἐπισκεφθέντας τόπους μέχρι τῆς εἰς Ἱεροσόλυμα ἐπανόδου τῇ 20 ὀκτωβρίου 1662. Ἐν δὲ τῷ δευτέρῳ φύλλῳ περιέχεται ὁ πίναξ καὶ ἡ ἐπιγραφὴ τοῦ βιβλίου. ποιηθέντος «μετὰ πολλοῦ κόπου διὰ θαλάσσης καὶ ξηρᾶς παρ᾽ ἐμοῦ τοῦ εὐτελοῦς ἀναξίου Μακαρίου ἱερομονάχου τοῦ Κρητός, μὲ τὴν συνοδία μου κὺρ Γαλακτίου κὺρ Ἰωνάν, ἢ ἀδελφός μου Ἀθανάσιος ἱεροδιάκων» κτλ. Αὐτόθι καὶ πρᾶξις ἰδιόχειρος Νεκταρίου πατριάρχου Ἱεροσολύμων (16 ὀκτ. 1661), εἶτα ἐπιστολὴ τοῦ Μα-

χαρίου πρὸς τὸν αὐτὸν πατριάρχην περὶ τῶν ἀποτελεσμάτων τῶν ὑπὲρ τοῦ παναγίου τάφου περιοδειῶν αὐτοῦ, καὶ Παϊσίου πατριάρχου Ἱεροσολύμων ἀπανταχοῦσα. Ἐν τοῖς ἑξῆς δὲ φύλλοις ὑπάρχουσι κατάλογοι συνδρομητῶν καὶ ἀδελφάτων κατὰ πόλεις καὶ κώμας καὶ νήσους, ὡς Λέσβον (1653), Καστελλόρριζον (1649), Ἄγραφα καὶ Γραμμένα (1662), Θεσσαλονίκην (1661), Κυδωνιαὶς Ἀνατολῆς (1653, Τύρναβον, Καβάλαν, Λάρισσαν, Τρίκκαλα, Ἀλάσσαρι, Κούλα, Κιζιλασσάρι, Τζαγκλή, Θυάτειρα, Μαγνησίαν, Χορόσκιοϊ, Σμύρνην, Σέριφον, Σίφνον, Πάρον, Ἀντίπαρον, Θερμία, Μοσχολοῦρι, Βλαχοβέλεσσο, Κουσάντασι, Ζαγορὰν Ῥούμελης, Δράκια, Μακρινίτζαν, ἅγιον Λαυρέντιον, Σέρβια, Κοζάνην, Κλεισοῦραν, Καστορίαν κλπ. Εἰς φ. 50 σημειοῦται ἀφιερωτήριον Παναγιώτου Νικολάου τοῦ ἐξ Ἀγράφων, ὅπερ ἐπεκυρώθη τῇ 14 ἰουλίου 1661 παρὰ τοῦ Θεσσαλονίκης μητροπολίτου Ἰωακείμ.

510. Συλλογὴ τῶν ἑξῆς χειρογράφων.

α') Τέσσαρα φύλλα μεμβράνινα τῆς ιγ' ἑκατ. ὕψ. 0,285 καὶ πλ. 0,208· ἔχουσι δὲ καθ' ἑκάστην σελίδα κείμενον μονόστηλον ἐκ 30 στίχων (0,23 × 0,124), ὅ ἐστι τεμάχια Σιμπλικίου εἰς τὸ πρῶτον βιβλίον τῆς φυσικῆς ἀκροάσεως Ἀριστοτέλους· περιεκάλυπτον δὲ ταῦτα πρότερον ἔντυπον βιβλίον.

β') Δύο φύλλα λεπτῆς μεμβράνης ὕψ. 0,325 καὶ πλ. 0,233, ἅπερ περιεκάλυπτον πρότερον βιβλίον τι ἔντυπον· ἀνήκουσι δὲ εἰς κώδικα ἀπολεσθέντα τῆς ἐννάτης ἑκατονταετηρίδος, οὗ τὸ κείμενον ἦν δίστηλον καὶ ἐκ στίχων 27 καθ' ἑκάστην σελίδα (0,225 × 0,14). Ἔχουσι δ' ἀμφότερα μέρος τῶν Παραλειπομένων μετὰ ἐνίων διαφορῶν (ΙΙ, 32, 1—15. 33, 11—25. 34, 1).

γ') Ἓν μεμβράνινον φύλλον γεγραμμένον μετὰ κεφαλαιωδῶν στοιχείων τῆς Ζ' ἢ Η' ἑκατ. Τεμάχιον ἑρμηνείας εἰς τὴν πρὸς Κορινθίους α' ἐπιστολὴν Παύλου. Κείμενον δίστηλον ἐκ 36 στίχων.

δ') Ἓξ φύλλα μεμβράνινα ἀπολεσθέντος προφητολογίου τῆς Θ' ἢ Ι' ἑκατ., οὗ τὸ κείμενον δίστηλον καὶ ἐξ 21 στίχων καθ' ἑκάστην σελίδα (0,184 × 0,14). Ὕψος τῶν φύλλων 0,244, πλάτος 0,184.

Ἀναγνώσματα μετὰ παρασημάνσεως ἐκ τῆς Ἐξόδου, τῶν Βασιλειῶν καὶ τῶν προφητειῶν Ἰεζεκιὴλ καὶ Ἡσαΐου· τὰ τοῦ Ἡσαΐου δὲ ἀνεγινώσκοντο «μηνὶ αὐγούστῳ ζ', διὰ τὴν ἐπέλευσιν τῶν Βαρβάρων».

ε') Ἓν μεμβράνινον φύλλον καὶ τὸ ἥμισυ δευτέρου φύλλου κώδικος ἀπολεσθέντος τῆς ΙΒ' ἑκατ., οὗ τὸ κείμενον δίστηλον καὶ ἐκ στίχων 29 καθ' ἑκάστην σελίδα (0,275 × 0,18)· ἐμπεριέχουσι δὲ τεμάχιον ὁμιλίας εἰς τὸν προφήτην Ζαχαρίαν. Ὕψ. 0,325 καὶ πλ. 0,245.

511. Συλλογὴ χαρτῴων τετραδίων τῆς ΙΗ' καὶ ΙΘ' ἑκατ.

α') Ἀντωνίου Βυζαντίου χρηστήθεια μετὰ ψυχαγωγικῆς ἑρμηνείας. β') Μελετίου μοναχοῦ περὶ φύσεως ἀνθρώπου· ἓν τετράδιον. γ') Μπαλάνου Βασιλοπούλου ἐξήγησις τῶν ἀφορισμῶν Ἱπποκράτους· δύο τετράδια. δ') Ἐννέα τετράδια γραφέντα ἐν ἔτει 1819 καὶ περιλαμβάνοντα Θεοδώρου Προδρόμου ἰαμβεῖα τετράστιχα εἰς τὰ κεφαλαιωδῶς ῥηθέντα ἐν τῇ παλαιᾷ Γραφῇ. ε') Πεντάδιον «ἐκ τῶν τοῦ Παρθενίου Γαλατζιάνου καὶ καμαράση, αωιε'»· ἐν ᾧ ἀναγινώσκεται διήγησις περὶ τοῦ ἀββᾶ Γερασίμου, ἑτέρα περὶ τοῦ ναοῦ τῆς Θεοτόκου τοῦ ἐν τῇ πόλει Ἀτρὰβ τῆς Αἰγύπου καὶ περὶ τῆς μελετηθείσης καταστροφῆς αὐτοῦ παρὰ Μαμοῦν, ἔτι δὲ περὶ τοῦ εὐαγγελισμοῦ τῆς Θεοτόκου σημειώσεις τινές. ϛ') Τετράδιον γραφὲν τῇ 25 ὀκτωβρίου 1822· ἐπιγράφεται δὲ οὕτω· «Γύμνασμα μουσικῆς διῃρημένον εἰς κεφάλαια ε', ὧν τὸ μὲν α' περὶ τοῦ ἴσου, ὅπερ καὶ θέμεθλον ταύτης· τὸ β' περὶ τῶν φωνῶν καὶ διαφόρων τρόπων αὐτῶν, τὸ γ' περὶ τῆς ἐνεργείας τῶν φωνῶν καὶ περὶ τόνων καὶ στιγμῶν αὐτῶν, τὸ δ' περὶ τῶν ὀκτὼ ἤχων, ὀνομασιῶν φθορῶν καὶ ἐνεργειῶν αὐτῶν· τὸ ε' καὶ τελευταῖον ἐξηγημένα τὰ μεγάλα σημεῖα· φιλοπονηθὲν παρὰ τοῦ Νήφωνος ἱερομονάχου ἁγιοταφίτου, εἰς χρῆσιν τῶν πρωτοπείρων τῆς μουσικῆς». ζ') Τετράδιον, οὗ ἡ ἐπιγραφή· «λόγος διαλαμβάνων τὰ ἀπὸ τῆς σεβασμίας γεννήσεως καὶ ἀνατροφῆς τῆς ὑπεραγίας ἡμῶν Θεοτόκου, τῆς θεοπρεποῦς συλλήψεως καὶ γεννήσεως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ ὅσα μέχρι τῆς ζωηφόρου αὐτῆς συνέδραμε

τελευτῆς, ἔτι δὲ καὶ περὶ τῆς φανερώσεως τῆς τιμίας αὐτῆς ἐσθῆτος». Ἀρχ. «Καθὼς ὁ μονογενὴς υἱὸς» κτλ. η′) Ἀκολουθία τοῦ ὁσίου Φιλαρέτου ψαλλομένη τῇ α′ δεκεμβρίου.

512. Δώδεκα κατάστιχα εἰς δεύτερον σχῆμα, ἐν οἷς περιέχεται καταγραφὴ τῶν εἰς Ἱεροσόλυμα προσελθόντων ὀρθοδόξων προσκυνητῶν κατὰ τὰ ἔτη 1801, 1802, 1803, 1805, 1811, 1814, 1816 καὶ 1817. Ἐν ἀρχῇ μὲν σημειοῦται ὁ τόπος, ὅθεν ὁ προσκυνητὴς ὁρμᾶται, εἶτα δὲ τὸ ὄνομα αὐτοῦ καὶ τὸ ποσὸν τῆς δοθείσης παρ' αὐτοῦ «προσφορᾶς ἢ μᾶλλον ἐλεημοσύνης» τῷ κοινῷ τῶν ἁγιοταφιτῶν.

513. Συλλογὴ ἐγγράφων καὶ τετραδίων, ἤτοι α′) τὸ πρωτότυπον ἐγκυκλίου γράμματος πρὸς τοὺς ἀρχιερεῖς Λακεδαιμονίας, ὅπερ ἀπέστειλε τῇ 25 σεπτ. 1830 ὁ ἐπὶ τῶν ἐκκλησιαστικῶν καὶ λοιπῶν γραμματεὺς τῆς ἑλληνικῆς πολιτείας· β′) «προσευχὴ πρὸς τὸν φοβερὸν θεὸν τοῦ Σινᾶ κατὰ τοῦ πρώην Σιναίου Κυρίλλου», συντεθεῖσα μὲν τῇ 10 δεκεμβρίου 1866, ἐν ἀρχῇ δὲ τοῦ ἐπιόντος ἔτους ἐπιδιορθεῖσα ἐστάλη πρὸς τοὺς Σιναΐτας πατέρας, ἵν' ἀναγινώσκηται παρ' αὐτῶν κοινῇ τε καὶ κατ' ἰδίαν· γ′) τὸ πρωτότυπον ἐπιστολῆς Παλαιολόγου Ἀποστόλη τοῦ ἐκ Ταμιάθι πρὸς ἀρχιερέα, 14 ἀπριλίου 1757· δ′) τὸ πρωτότυπον προσκλητηρίου ἐπιστολῆς πρὸς ἀρχιερέα, ὑπογεγραμμένον παρὰ Γερασίμου ἐπιτρόπου τοῦ ἐν Ἱεροσολύμοις πατριαρχείου· ε′) τεμάχιον κώδικος τῆς ιζ′ ἑκατ. ἐκ φύλλων 23, ἐν ᾧ περιέχεται τὸ περὶ ἐνοριῶν τῶν πατριαρχικῶν θρόνων συγγραμμάτιον Νείλου τοῦ Δοξαπατρῆ· ϛ′) «εὐχὴ σύντομος ὡραία καὶ πάνυ προσφυὴς λέγεσθαι ἐπὶ τοῦ μικροῦ ἁγιασμοῦ, ἔχουσα καὶ τὴν πρέπουσαν ἐπίκλησιν τοῦ παναγίου Πνεύματος ἐπ' εὐλογίᾳ καὶ ἁγιασμῷ τοῦ προκειμένου ὕδατος»· ζ′) ἑξάδιον ἐν ᾧ περιέχεται ἀκολουθία εἰς τὸν ὅσιον Φιλάρετον, διάφορος τῆς προσημειωθείσης· η′) ἑξάδιον ἐμπεριέχον δύο παρακλητικοὺς κανόνας εἰς τὸν τίμιον Πρόδρομον, οὓς ἔγραψεν ὁ ἱερομόναχος Θωμᾶς τῇ θ′ νοεμβρίου 1861 ἐντὸς τῆς ἐν Ἱεροσολύμοις μονῆς τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου, ἡγουμενεύοντος τοῦ ἀρχιμανδρίτου Ἰωάσαφ. θ′) τεῦχος τῆς ιη′

εκατ. ἐκ φύλλων 98, ἐν ᾧ περιέχονται αἱ εἰς τὸ ἑξαήμερον ὁμιλίαι τοῦ ἁγίου Βασιλείου.

514. «Κῶδιξ ἱερὸς τῆς ἐν τῇ ἁγίᾳ Γεθσημανῇ σεβασμίας καὶ βασιλικῆς μονῆς τῆς κοιμήσεως τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἐν ᾧ καταγράφονται αἱ παρρησίαι τῶν τιμίων ὀνομάτων τῶν εὐλαβεστάτων καὶ θεοσεβεστάτων προσκυνητῶν, ἐκ τῶν παλαιῶν κωδίκων συναχθεὶς καὶ ἀπαραλλάκτως καταστρωθεὶς ἐνταῦθα ἐπὶ τῆς ἐπιτροπικῆς τοῦ πανιερολογιωτάτου καὶ θεοπροβλήτου μητροπολίτου ἁγίου Ναζαρὲτ κυρίου κυρίου Κυρίλλου, δι' ἐπιμελείας τοῦ πανοσιωτάτου ἐν ἱερομονάχοις καθηγουμένου τῆς αὐτῆς ἱερᾶς μονῆς κυρίου Σαμουὴλ Πελοποννησίου, ἐν ἔτει ͵αωδ', ἐν μηνὶ αὐγούστῳ». Φύλλα χαρτῷα 74, περιέχοντα σημειώσεις ἀπὸ τοῦ 1760 μέχρι τοῦ 1866 ἔτους. Ἡγούμενοι δὲ τῆς ἁγίας Γεθσημανῆς σημειοῦνται οἱ ἑξῆς. 1778 Παΐσιος ἱερομόναχος Εὐριπιώτης — 1779 Παρθένιος ἱερομόναχος ἐκ Γκιουμουσχανέ — 1795 Ζωσιμᾶς ὁ ἐξ Ἰωαννίνων — 1787 Κύριλλος ἱερομόναχος Πελοποννήσιος — 1789 Ἀβράμιος Ἰωαννίτης—1791 Ἀνανίας Τριγλιανός—1793 Δαμασκηνὸς Μιτυληναῖος—1797 Πανάρετος πρωτοσύγκελλος Κύπριος «τὸ δεύτερον μείνας ἐπὶ τὴν ἡγουμενείαν ἐν ὅλοις ἔτεσι πέντε»—1802 Γρηγόριος ἱερομόναχος Κῷος—1804 Σαμουὴλ Πελοποννήσιος— 1807 Προκόπιος ἱερομόναχος Κύπριος—1811 Ἰωὴλ ἱερομόναχος Πελοποννήσιος — 1814 Ναθαναὴλ ἱερομόναχος Ἄνδριος — 1816 Μόδεστος ἱερομόναχος ἐξ Ἁγιάσου τῆς Λέσβου—1819 Παρθένιος ἱερομόναχος Βυζάντιος — 1821 Κύριλλος ἱερομόναχος Σάμιος—1830 Ἱερόθεος ἱερομόναχος Γανοχωρίτης—1831 Βενιαμὶν ἱερομόναχος Κύπριος—1836 Ἀγάπιος ἱερομόναχος Πελοποννήσιος — 1839-1843 Γεράσιμος ἱεροδιάκονος Πελοποννήσιος.

515. Ἰατροσόφιον καὶ Ἀγαθαγγέλου προφητεῖαι κατὰ τὴν μετάφρασιν Θεοκλήτου. Φύλλα χαρτῷα 52, γραφέντα περὶ τὰς ἀρχὰς τοῦ ἡμετέρου αἰῶνος. Ὑψ. 0,225 καὶ πλ. 0,162.

516. Μυθολογικὸν Συντίππα ἀπὸ τῆς ἑνετικῆς ἀντιγραφὲν ἐκδόσεως τοῦ 1755 ἔτους. Σελίδες 90.

517. Εἰλητὸν μεμβράνινον τῆς ΙΔ΄ ἑκατ. πλάτους μὲν 0,93, μήκους δὲ 4 μ. καὶ 93 ἑκτ. Ἀκέφαλος λειτουργία τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου μετά τινων μεγάλων κεφαλαιωδῶν στοιχείων πορφυρῶν· ἄρχεται δὲ νῦν ἀπὸ τῶν ἑξῆς λέξεων «εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως τοῦ Κυρίου δεηθῶμεν» κτλ. Ἐν μὲν τοῖς διπτύχοις τῶν κεκοιμένων σημειοῦται τὸ «μνήσθητι Κύριε τοῦ δούλου σου Ἰγνατίου ἱερομονάχου καὶ πατρὸς ἡμῶν», ἐν δὲ τοῖς τῶν ζώντων εὐχόμενος ὁ ἱερεὺς λέγει «μνήσθητι Κύριε τοῦ δούλου σου Δωροθέου ἀρχιερέως».

518. Εἰλητὸν μεμβράνινον γραφὲν παρὰ τοῦ αὐτοῦ καλλιγράφου, πλ. 0,285 καὶ μήκους 5,50. Λειτουργία τοῦ ἁγίου Βασιλείου μετὰ «εὐχῆς ἐν τῷ συστεῖλαι τὰ ἅγια» καὶ μετὰ σημειώσεως τοῦ καλλιγράφου δυσδιακρίτου.

519. Εἰλητὸν μεμβράνινον τῆς ΙΒ ἑκατ., πλ. 0,22 καὶ μήκους 3,20. Τάξεις χειροτονιῶν μετὰ κοσμήματος ἐν σχήματι πλατέος Π, μετὰ κεφαλαίων τινῶν στοιχείων κεχρωματισμένων καὶ κεχρυσωμένων καὶ μετὰ χρυσῶν ἐπιγραφῶν. Εἰς τὸ τέλος δὲ ὑπάρχει μονοκόνδυλος ὑπογραφὴ τοῦ κτήτορος· «ὁ ταπεινὸς Εὐθύμιος μητροπολίτης Καισαρείας καὶ Λύδας, καὶ ὑπέρτιμος πρωτοθρόνου Ἱεροσολύμων»· ἀραβιστὶ δὲ ὑπέγραφεν οὕτω· «κτῆμα τοῦ ταπεινοῦ ἐν ἀρχιερεῦσιν Εὐθυμίου ὑπηρέτου τοῦ θρόνου Καισαρείας Φιλίππου πρωτοθρόνου Ἱεροσολύμων καὶ τῶν πέριξ, ἤτοι τῆς πόλεως Δαμασκοῦ Λύδδας καὶ Ῥέμλης, καὶ τοῦτο ἐν ἔτει ͵ςωπς΄ (=1377-1378), πατριαρχεύοντος ἀμπαχούμη Δωροθέου πατριάρχου Ἱεροσολύμων τοῦ περιφήμου ὡς ἡγουμένου Ἐλσίκ». Κατὰ τὴν σημείωσιν ταύτην πλουτίζεται ἡ περὶ τοῦ πατριάρχου Δωροθέου ἡμετέρα ἔρευνα, διότι ἀποδείκνυσιν αὐτὸν πρὸ τοῦ 1382 ἔτους πατριαρχεύοντα· τοῦθ᾽ ὅπερ ἀλλαχοῦ ἐλέγομεν. Ὅρα ἀναλέκτων τῆς ἱεροσολ. σταχυολογίας τ. Ι, σ. 246 ἐν ὑποσημειώσει, ἔνθα ἀντὶ τοῦ 1382 ἔτους ἀνάγνωθι νῦν 1377 ἢ 1378.

1. «Τάξις γινομένη ἐπὶ χειροτονίᾳ ἀναγνώστου καὶ ψάλτου ἧς ἡ ἀρχή· «Προσαγόμενος τῷ ἀρχιερεῖ» κτλ.

2. «Ταξις γινομένη ἐπὶ χειροτονίᾳ διακόνου». Ἀρχ. «Τοῦ ἀρχιερέως ἱσταμένου πρὸ τῆς ἁγίας τραπέζης τῆς ἐν τῷ διακονικῷ ἢ καὶ πρὸ τῶν μεγάλων τοῦ ναοῦ πυλῶν ὅτε μέλλει εἰσοδεύειν, προσάγεται ὁ χειροτονεῖσθαι μέλλων φορῶν φαινόλιον» κτλ. Ὅρα τὰς παρὰ Goar διαφόρους ἀναγνώσεις κατὰ τὸ ἀπόγραφον τῆς Κρυπτοφερράτης ἐν σελ. 204.

3. «Τάξις γινομένη ἐπὶ χειροτονίᾳ διακόνου», ἧς ἡ ἀρχή· «Μετὰ τὸ γίνεσθαι τὴν ἁγίαν ἀναφορὰν καὶ τὰς θύρας ἀνοιγῆναι καὶ τὸν ἀρχιερέα ἐκφωνῆσαι» κτλ. Goar σ. 211.

4. «Τάξις γινομένη ἐπὶ χειροτονίᾳ πρεσβυτέρου, ὀφείλοντος εἶναι χρόνων λ' τελείων». Ἀρχ. «Μετὰ τὸ εἰσενεχθῆναι καὶ ἀποτεθῆναι τὰ θεῖα δῶρα εἰς τὴν ἁγίαν τράπεζαν» κτλ. Goar σ. 244.

5. «Τάξις γινομένη ἐπὶ χειροτονίᾳ ἐπισκόπου», ἧς ἡ ἀρχή· «Μετὰ τὴν (τοῦ) τρισαγίου συμπλήρωσιν (ἄνεισιν) ὁ ἀρχιερεὺς εἰς τὴν κρηπῖδα τὴν πρὸ τῆς ἁγίας τραπέζης» κτλ. Goar σ. 243—251.

6. «Τάξις γινομένη ἐπὶ προχειρίσει κηροφόρου καὶ δεποτάτου», προστεθεῖσα κατὰ τὴν ιγ' ἑκατ. Ἀρχ. «Προσαγόμενος ὁ τοιοῦτος τῷ ἀρχιερεῖ» κτλ. Goar σ. 198.

7. «Τάξις γινομένη ἐπὶ καταβολῇ θεμελίου, ἐπὶ οἰκοδομῇ τείχους πόλεως καὶ ἀνθρώπων κατοικίας»· προσθήκη τῆς ιγ' ἑκατ. Ἀρχ. «Κύριε ὁ Θεὸς ἡμῶν ὁ ἐν ὑψηλοῖς κατοικῶν» κτλ.

520. Εἰλητὸν μεμβράνινον τῆς ΙΔ' ἑκατ., πλ. 0,165 καὶ μήκους 1,98. Τεμάχιον τῆς λειτουργίας τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου.

521. Εἰλητὸν μεμβράνινον τῆς ΙΒ' ἑκατ. συμπληρωθὲν ἐν τῇ ἀρχῇ διὰ χάρτου κατὰ τὸν ιδ' αἰῶνα. Μήκους 4, 53 καὶ πλ. 0,15. Ἀκέφαλος ἀκολουθία τῆς ἱερᾶς μεταλήψεως, μετά τινων κεφαλαιωδῶν στοιχείων κεχρυσωμένων καὶ κεχρωματισμένων καὶ μετὰ χρυσῶν ἐπιγραφῶν.

522. Εἰλητὸν ἐκ βομβυκίνου χάρτου μήκους 7 μ. 127 καὶ πλ. 0,252. Ἀκέφαλος ἀκολουθία τοῦ μεγάλου ἁγιασμοῦ κατὰ τὴν

ἡμέραν τῶν Θεοφανείων, ἔχουσα εἰς τὸ τέλος τὸ ἑξῆς σημείωμα· «✝ εὔξου μοι τὸν γράψαντα, ὦ θύτα, | ὅπως λάβω λύσιν σφαλμάτων | Ἰωάννου τοὔνομα (χ. τ' οὔνομα) παρεπιδήμου (χ. παρεπηδίμου) ξένου· | ἔτους ,ςωμδ', μηνὶ μαρτίῳ η', ἰνδικτιῶνος δης» (1336). Προσετέθη δὲ κατόπιν ἀραβικὴ μετάφρασις μιᾶς τῶν ἐν τῷ εἰλητῷ μεγάλων εὐχῶν.

523. «1685 ὀκτωβρίου α'. Κατάστιχον σὺν θεῷ ἁγίῳ τῶν ἐξόδων ὁποῦ κάμνομεν εἰς τὴν ἀνακαίνισιν τῶν ἓξ ἰβηρικῶν μοναστηρίων, Σταυροῦ, ἁγίου Νικολάου, ἁγίου Βασιλείου, ἁγίων Θεοδώρων, ἁγίου Γεωργίου καὶ Σαντανάϊας, καὶ ἔτι πασῶν τῶν ἐξόδων ὁποῦ γίνονται διὰ τὰ ῥηθέντα μοναστήρια εἴς τε τὸν πασιὰν καὶ κατὴν καὶ σιέχιδες καὶ εἰς ἄλλας χρείας καὶ ὑποθέσεις, ἀφ' οὗ ὁ μακαριώτατος ἡμῶν αὐθέντης καὶ δεσπότης ἀπεδήμησεν ἀπὸ τῆς ἁγίας πόλεως εἰς τὴν βασιλεύουσαν τῶν πόλεων». Ὕψ. 0,34 καὶ πλ. 0,234. Δώδεκα φύλλα μόνον γεγραμμένα, περιέχοντα πράξεις δαπανῶν ἀπὸ τῆς α' ὀκτ. 1665 μέχρις κε' μαρτίου 1696.

524. Τεῦχος ἐκ στιλπνοῦ χάρτου ὕψ. 0,31 καὶ πλ. 0,21, ἔχον τὰ ἑξῆς αὐτόγραφα σημειώματα ἐν τῇ ὤᾳ τῆς γ' σελίδος· «ἐκ τῶν τοῦ Ἰγνατίου ἱεροδιακόνου τοῦ Λεσβίου ,αψϞ'», καὶ «ἐκ τῶν τοῦ Ῥαλάκη Καριοφύλλη», περὶ οὗ ὅρα Ἰωάννου τοῦ Καρυοφύλλου ἐφημερίδας ἐκδεδομένας ὑπὸ Π. Γ. Ζερλέντη (ἐν Ἀθήναις 1890), σ. 10—11. Καθ' ἑκάστην σελίδα 23—27 στίχοι (0,215 × 0,135).

Μελετίου τοῦ Πηγᾶ, πάπα καὶ πατριάρχου Ἀλεξανδρείας, ἐπιστολαὶ 340 περίπου διὰ χειρὸς τοῦ ἀρχιδιακόνου αὐτοῦ Μαξίμου τοῦ Πελοποννησίου γραφεῖσαι μεταξὺ τῶν ἐτῶν 1600 καὶ 1601. Τὸ τεῦχος μέντοι σύγκειται ἐκ σελίδων 564 καὶ τριῶν ἀσελιδώτων φύλλων· ἀλλ' αἱ μὲν δύο πρῶται σελίδες παλαιόθεν ἀπώλοντο, αἱ δὲ σελίδες 45—48 ἄγραφοι ἀρχῆθεν ἀφέθησαν. Ἐλλείπουσιν οὖν ἐκ τῆς ἀρχῆς μία ὅλη ἐπιστολὴ καὶ τὸ πρῶτον τμῆμα τῆς δευτέρας, ἧς ἡ συνέχεια ἐν τῇ τρίτῃ εὑρισκομένη σελίδι ἄρχεται νῦν ἀπὸ τῶν λέξεων τῶνδε· «... μένοντας τῷ τῆς πρὸς

αὐτὸν ἀγάπης εἰλικρινεῖ, ἥνπερ οὐδ' αἱ τοιαῦται προσβολαὶ καταβαλεῖν ἴσχυσαν» κτλ. Μεθ' ἣν ἀναγινώσκονται τεσσαρεσκαίδεκα ἐπιστολαὶ εἰς τὴν μδ' λήγουσαι σελίδα, ἔνθα καὶ τὸ ἑξῆς κεῖται σημείωμα· «χειρὶ Μαξίμου ἀρχιδιακόνου Ἀλεξανδρείας, τοῦ ͵αχ' ἔτους Χριστοῦ, ἐν Ἀλεξανδρείᾳ νοεμβρίου ια'». Ἀπὸ τῆς πεντηκοστῆς δὲ πρώτης σελίδος κεῖται ἐπιστολῶν συλλογὴ ἀδιάκοπος τὴν ἑξῆς ἔχουσα κεφαλίδα· «Ἐπιστολαὶ τοῦ μακαριωτάτου καὶ παναγιωτάτου πατρὸς ἡμῶν αὐθέντου καὶ δεσπότου πάπα καὶ πατριάρχου τῆς μεγάλης πόλεως Ἀλεξανδρείας καὶ κριτοῦ τῆς οἰκουμένης κυρίου Μελετίου», ὧν πρώτη μὲν ἡ πρὸς Μάξιμόν τε τὸν Μαργούνιον καὶ Γαβριὴλ τὸν Σεβῆρον, τελευταία δὲ ἡ πρὸς Γαβριὴλ μόνον τὸν Φιλαδελφείας, γραφεῖσα «ἐν Αἰγύπτῳ ͵αχα', ε' φθίνοντος βοηδρομιῶνος». Μεθ' ἣν ὁ καλλιγράφος σημειοῖ τάδε· «αὕτη δὲ ἡ ἐπιστολὴ συνεγράφη τῷ σοφωτάτῳ καὶ ἁγιωτάτῳ ἐκείνῳ ἀνδρὶ κυρίῳ Μελετίῳ ὀλίγαις πρότερον ἡμέραις τῆς ἐν Κυρίῳ αὐτοῦ ἀποβιώσεως, κατεχομένῳ μὲν τῇ ἀσθενείᾳ, οὔπω δὲ κλινοπετεῖ τυγχάνοντι· μεθ' ἣν οὐδεμίαν ἄλλην συνεγράψατο, οὐδὲ ὅλως σχεδὸν τῆς γραφίδος ἥψατο. Ἔστι δ' αὕτη οἱονεὶ πασῶν ἡ κορωνίς, ἧς μετὰ πάντων τῶν ἄλλων αὐτῷ συγγραφέντων — συνεγράφη δὲ πλεῖστα ἑλληνιστί τε καὶ λατινιστί· ἦν γὰρ ἑκατέρων τῶν γλωσσῶν ἐς τὸ ἀκρότατον ἐπιστάμενος — πρό τε τῆς πατριαρχικῆς ἀξίας καὶ μετ' αὐτὴν τὴν ψῆφον (οὐ γὰρ ἐθάρρει ἑαυτῷ πάντα εἰδέναι) τῇ μητρὶ αὐτοῦ ᾗ φησιν ἀνατολικῇ ἐκκλησίᾳ παρατίθησι τὴν ἣν ἐπεθύμει ἀεὶ ἀνάλυσιν αὐτοῦ, ὡς ἂν Χριστῷ συγγένοιτο προεγνωκώς. Ἐπατριάρχευσεν οὖν δέκατον καὶ μικρόν τι πρὸς ἔτος, ἔζησε δὲ τὸν ἅπαντα αὐτοῦ βίον πεντήκοντα δύο ἔτη, ἐκοιμήθη δὲ ιγ' σεπτεβρίου, συνόντος κἀμοῦ αὐτῷ τέως· ὅστις συνῆν τεσσαρεσκαιδέκατον αὐτῷ ἔτος μέχρι τελευτῆς, ἀφ' οὗ καὶ ἐχειροτονήθην ἀναγνώστης τε καὶ ἱεροδιάκονος καὶ τῆς τῶν ἀρχιδιακόνων τάξεως ἠξιώθην, ἐν ᾗ τό γε νῦν Θεοῦ χάριτι τυγχάνω γε ὤν, πρότερον μαθητευθεὶς αὐτῷ ἀπὸ τῆς στοιχείων ἀρχῆς· ἡνίκα δ' ἔμελλον καὶ μείζονος ἀπολαῦσαι πρὸς αὐτοῦ τῆς παιδείας, κατελ(ε)ίφθην ὀρφανὸς πάντων στερηθεὶς ὑφ' ἕν: — Μά-

*

ξιμος ἀρχιδιάκονος Ἀλεξανδρείας: - Προστίθημι καὶ ταυτὶ σποράδην που κείμενα εὑρών, ἅτινα πρὸ τῆς πατριαρχικῆς ἀξίας ἐγράφη αὐτῷ, ὡς ἐκ τοῦ ἔτους δῆλον», ἤτοι τρεῖς ἐπιστολὰς πρὸς Θεοδόσιον, Κωνσταντῖνον Κουρνιακτὸν καὶ Πέτρον βοεβόδα [1].

525. Τεῦχος χαρτῷον τῆς ις' ἑκατ., ὕψ. 0,31 καὶ πλ. 0,21. Σελίδες 511 ἢ τετράδια λβ'. Κείμενον δίστηλον καθ' ἑκάστην σελίδα ἐξ 27 στίχων (0,204 × 0,13).

Ἐφραὶμ Σύρου ἀσκητικὰ ἔργα, ὧν τὸ πρῶτον ἐπιγράφεται οὕτω· «παραίνεσις τοῦ ἀνθρώπου καὶ τῆς ψυχῆς· τοῦ ὁσίου πατρὸς ἡμῶν Ἐφραὶμ ἐπιστολὴ πρὸς Ἰωάννην μονάζοντα περὶ ὑπομονῆς καὶ τοῦ μὴ ἀπατᾶσθαι τοῖς λογισμοῖς προφάσει δικαιωμάτων καὶ λέγειν ὅτι "βοσκὸς καὶ πορεύομαι", καὶ περὶ σωφροσύνης». Ἀρχ. «Πολλὰ παραινέσαντες» κτλ.

526. Τεῦχος βομβύκινον ἀλλὰ καὶ διάτρητον ἐκ φύλλων 108 ὕψ. 0,315 καὶ πλ. 0,214. Κείμενον δίστηλον καθ' ἑκάστην σελίδα ὕψ. 0,245 καὶ πλ. 0,152, ὅπερ ἐγράφη ἐν ἔτει 1502.

Εὐαγγέλιον λειτουργικὸν μετὰ συναξαρίου, ἔχον ἐν ἀρχῇ μὲν κόσμημα ἀπειρόκαλον καὶ κεχρωματισμένον, ἐν δὲ τῷ κειμένῳ κεφαλαιώδη τινὰ στοιχεῖα ὑπερμεγέθη, κατὰ τὴν ἀρχὴν ἑκάστου ἀναγνώσματος. Ὁ βιβλιοπηγὸς δὲ τέσσαρα προσέθηκε φύλλα, ἐν οἷς ἀναγινώσκεται ἀκέφαλος τριαδικὸς κανὼν ψαλλόμενος καθ' ἑκάστην κυριακήν. Σημειώσεις δὲ δύο τοῦ καλλιγράφου ὑπάρχουσιν ἐν τέλει τοῦ τεύχους, οὗ τὰ τελευταῖα πεντεκαίδεκα φύλλα εἰσὶν ἐκ κοινοῦ χάρτου· ἔχουσι δὲ αὗται οὕτω, παραλειπομένων τῶν γραφικῶν σφαλμάτων· «† ἐτελειώθη τὸ παρὸν εὐαγγέλιον ἐν μηνὶ καὶ ἐν χρονίᾳ τοῦ Ἀδὰμ ἔτος ͵ζι', ἰδέα τοῦ Χριστοῦ ͵αφβ' ἰνδικτιῶνος ε', ☉ κύκλος ι', ☾ῆς κύκλος ιη', θεμέλιος ☾ῆς κα', μην(ὶ) δικεμβρίῳ κγ', ἡμέρᾳ ε'». — «Ἐτελειώθη τὸ παρὸν εὐαγγέλιον ὑπὸ χειρὸς κἀμοῦ Νικολάου ἀναγνώστου καὶ

[1] Τὰς πρὸς Θεοδόσιον καὶ Κωνσταντῖνον ἐπιστολὰς ἀπ' ἄλλου κώδικος ἀντιγράψας κατεχώρισα ἐν Ἑλλ. Φιλολ. Συλλ. τ. XVII, σ. 71. Ἀπὸ δὲ τοῦ ἱεροσολυμιτικοῦ τεύχους ἐξέδωκα νῦν τὰς πρὸς Παΐσιον τὸν Ἁγιαποστολίτην ἐπιστολάς, ἅσπερ ἀνάγνωθι ἐν τέλει τῆς τοῦ Παϊσίου ἱστορίας τοῦ ἁγίου ὄρους Σινᾶ, σ. 156—164.

εὔχεσθέ μοι διὰ τὸν Κύριον, ὅπως εὕρω ἔλεος ἐν ἡμέρᾳ κρίσεως· διότι πολλὰ γὰρ ἔσφαλλον: — † νηπλοθλω θνθζνσωψβω» = Νικόλαος ἀναγνώστης. Εἰς φ. 108β· «† ἀφιερόνω ἐγὼ ὁ παπὰ Μακάριος ἱερομόναχος ὁ Πολίτης τοῦτο τὸ εὐαγγέλιον εἰς τὸ μοναστῆριν τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ τῶν Ἰβήρων εἰς τὴν ἁγίαν Ἱερουσαλήμ, διὰ ψυχικὴν σωτηρίαν ..... ἔτους ,ζπγ' ἰνδ. γ', ἰούνιος κβ. — † ἀφιερόνω ἐγὼ ὁ παπὰ Μακάριος ἱερομόναχος ὁ Πολ(ίτης)» = 1575.

527. Ἐκκλησιαστικῆς μουσικῆς τεῦχος χαρτῷον τῆς ΙΖ' ἑκατ. ἐκ φύλλων 203 ὕψ. 0,292 καὶ πλ. 0,21, ὧν τὰ μὲν πρῶτα δώδεκα περιλαμβάνουσι τὴν συνήθη περὶ «σημαδίων τῆς μουσικῆς τέχνης» διδασκαλίαν, τὰ δ' ἐπίλοιπα ἀνθολογίαν διαφόρων ᾀσμάτων, ἧς ἡ ἐπιγραφή· «ἀρχὴ σὺν θεῷ ἁγίῳ τῆς ἡδυτάτης καὶ μελιρρύτου παπαδικῆς· ποιήματα πάμπολλα ὑπὸ διαφόρων ποιητῶν καὶ κρατήματα καὶ κεκραγάρια» κτλ. Περιέχει δὲ τὸ τεῦχος συνθέσεις Ξένου Κορώνη, Ἐμμανουὴλ Χρυσάφου, Ἰωάννου Κουκουζέλη, «Ἀνθίμου τοῦ ἐκ Θεσσαλίας καὶ ἐμοῦ διδασκάλου», Ἰωάννου Κλαδᾶ, Ἰωάννου Κακουμᾶ, Κωνσταντίνου Μαγουλᾶ, Γαζῆ, Γερμανοῦ νέων Πατρῶν, Κοσμᾶ Μακεδόνος τοῦ Ἰβηρίτου, Μπαλασίου ἱερέως, Ἰωάννου Γλυκέος, Μελχισεδέκ, Θεοφάνους Καρύκη καὶ Ἀρσενίου τοῦ μικροῦ, ἔτι δὲ φήμην τοῦ Κωνσταντινουπόλεως Διονυσίου τονισθεῖσαν ὑπὸ Μπαλασίου, ἑτέραν τοῦ Ἀλεξανδρείας Παρθενίου καὶ τρίτην τοῦ Ἀντιοχείας τονισθείσας ἐπίσης παρὰ τοῦ αὐτοῦ Μπαλασίου.

528. Τεῦχος μεμβράνινον ἐκ φύλλων 234 ὕψ. 0,292 καὶ πλ. 0,205, γραφὲν μεταξὺ τῆς ΙΒ' καὶ ΙΓ' ἑκατ. Τοῦ πρώτου δὲ τετραδίου ἐλλείπουσι δύο φύλλα, ἤτοι τὸ πρῶτον καὶ τὸ τελευταῖον. Στιχηράριον τετονισμένον τοῦ ὅλου ἐνιαυτοῦ, οὗ τὸ κείμενον καταλαμβάνει χῶρον ὕψ. 0,208 καὶ πλ. 0,15.

529. «Ἀνθολογία στιχηραρίου περιέχουσα πάντα τὰ δοξαστικὰ τοῦ ἐνιαυτοῦ, τῶν τε δεσποτικῶν καὶ θεομητορικῶν ἑορτῶν καὶ ἄλλων ἑορταζομένων ἁγίων, συντεθέντα παρὰ τοῦ μουσικολογιωτάτου λαμπαδαρίου τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας

κῦρ Πέτρου τοῦ Πελοποννησίου εἰς ἰδίαν καὶ κοινὴν ὠφέλειαν». Τεῦχος χαρτῷον ἐκ φύλλων 103 ὕψ. 0,278 καὶ πλ. 0,205, γραφὲν περὶ τὸ τέλος τῆς ΙΗ' ἑκατονταετηρίδος.

530. Εὐαγγέλιον λειτουργικὸν ἑλληνικοῖς μὲν γράμμασιν ἀλλ' εἰς γλῶσσαν τουρκικὴν γεγραμμένον. Τεῦχος χαρτῷον ἐκ σελίδων 279 καὶ 9 ἀσελιδώτων φύλλων, ἐν οἷς κατεγράφη ὁ τῶν ἐμπεριεχομένων πίναξ. Ὕψ. 0,278 καὶ πλ. 0,18. Καθ' ἑκάστην σελίδα 22 ἢ 23 στίχοι, ἤτοι ὕψ. 0,206 καὶ πλ. 0,11. Εἰς σελ. 279 σημείωσις τοῦ γραφέως, ἐξ ἧς παραλείπονται ὧδε τὰ ἐσφαλμένως γεγραμμένα· «τὸ παρὸν θεῖον καὶ ἱερὸν εὐαγγέλιον τὸ ἐμεταγλώττισεν ὑπὸ (=ἀπὸ) τὴν ῥωμαϊκὴν γλῶσσαν εἰς τὴν τούρκικην φράσιν ὁ πανιερώτατος καὶ λογιώτατος μητροπολίτης τῆς ἁγιωτάτης μητροπόλεως Πισιδίας, ὑπέρτιμος καὶ ἔξαρχος Σίδης Μυρέων καὶ Ἀτταλείας, κύριος κῦρ Κοσμᾶς μὲ ἐπιμέλειαν καὶ κόπον πολλήν, διὰ ψυχικὴν αὐτοῦ σωτηρίαν, οὗ μέμνησθε οἱ ἀναγινώσκοντες· ἡ δὲ χεὶρ ὑπάρχει Ἀνανίου ἱερομονάχου· ἐτελειώθη δὲ ͵αψμδ' αὐγούστῳ κγ', ἀπὸ δὲ Ἀδὰμ 7252». Ἔσωθεν δὲ τῆς πρώτης πινακίδος ταῦτα ἀναγινώσκονται· «τὸ παρὸν ἅγιον καὶ ἱερὸν εὐαγγέλιον ὑπάρχει κἀμοῦ Ἀγαπίου ἱερομονάχου τοῦ Προυσααίου, ἁγιοταφίτου καὶ παραγιοῦ τοῦ μακαριωτάτου Ἱεροσολύμων, καὶ μὲ τὸ ἐχάρισεν ὁ πατριάρχης κῦρ Ἀβράμιος, καὶ ὁ Θεὸς νὰ τὸν πολυετῇ· καὶ τὸ ἔχω ἀφιμένο εἰς φύλαξι εἰς τὸν τιμιώτατον κῦρ χατζῆ-Βασίλη, εἰς τοὺς 1768 ἐν μηνὶ ἰουνίου 20».

531. «Στιχηράριον σὺν θεῷ ἁγίῳ περιέχον τὰ ἰδιόμελα τοῦ ὅλου ἐνιαυτοῦ τῶν δεσποτικῶν καὶ θεομητορικῶν ἑορτῶν καὶ πάντων τῶν ἑορταζομένων ἁγίων, καλλωπισθέντα δὲ παρὰ κῦρ Χρυσάφου τοῦ νέου καὶ πρωτοψάλτου». Ἀτελές. Φύλλα χαρτῷα 114 ὕψ. 0,265 καὶ πλ. 0,19, γραφέντα περὶ τὸ τέλος τῆς ΙΖ' ἑκατ.

532. Τεῦχος χαρτῷον ἐκ φύλλων 97 ὕψ. 0,24 καὶ πλ. 0,172.

«Νικηφόρου τοῦ Βλεμύδους ἐπιτομὴ λογικῆς», ἧς ἡ ἀρχή· «Ἐπειδή περ ἡ λογικὴ ἐπιστήμη» κτλ. Εἰς φ. 97· «τέλος καὶ τῷ Θεῷ δόξα, ͵αψοε' μαρτίου α'». Ἔσωθεν τῆς πρώτης πινακίδος·

Τήνδε τὸν γράψαντα δέλτον Νικόλαον ἀγαστὴν
εὔθυμον τήρει Χριστ' ἄνα ὑψιμέδων.

Ἡρωϊκά.

Οὐκ ἔστ' ἐμμέτρως ἄμετρον πάντη ξυγγράφεμμεν.
Στιχουργοῦντ' ἀμέτρως οὖν μὴ ἀπόρει Νικολάῳ·
μέτρῳ γὰρ γ' ἀγνοεῖ πᾶσιν δ' ἔργοις τε λόγοισι.

Καὶ ἐπὶ τῆς δευτέρας πινακίδος·

Μνῆμα τόδ' ἀείμνηστον ἔχει κλέος, ὅττι Σαμουὴλ [1]
σῶμα φέρειν ἱερὸν εὔχεται εὐκλεέος,
φωσφόρος ὃς ζωοῖσι καὶ ἕσπερος ἐν φθιμένοισι
μνημοσύνῃ σοφίης ἔνδικα φρυκτωρέει.
Τοιὸν δ' ἡμετέρη γενεὴ μέγαν ὀψέποτ' εἶδε
κοίρανον ἀρχιθυτῶν, φέρτατον ἐλλογίμων,
εὖ μάλα ταῖς πραπίδεσσιν ἀρηρότα . . . . .
πεπνυμένον ἀρεταῖς, τλησίπονον χαμάτοις,
ἱρῆς τ' ἐκκλησίης μέγ' ὄνειαρ, ἄεισμά τε πιστῶν.
Ὄλβια πάντ' ἔλαχε καὶ φθόνον οὐ φέρεται.

533. Τεῦχος μεμβράνινον ἐκκλησιαστικῆς μουσικῆς, συγκείμενον ἐκ φύλλων 310, ὕψ. 0,224 καὶ πλ. 0,17, καὶ γραφὲν μεταξὺ τῆς ΙΒ' καὶ ΙΓ' ἑκατονταετηρίδος.

Ἀκέφαλον καὶ πεπηρωμένον στιχηράριον τοῦ ὅλου ἐνιαυτοῦ, ἀρχόμενον νῦν ἀπὸ τῶν ἑξῆς λέξεων· «....ρον καὶ θαύμασι | πρὸς τὸ κήρυγμα ἀπεστέλλοντο» κτλ. Τέλος· «ἐν τῷ θλίβεσθαί με δαβιτικῶς ᾄδω σοι, Σωτήρ μου· ῥῦσαί μου τὴν ψυχὴν ἐκ γλώσσης δολίας».

534. Τεῦχος χαρτῷον ἐκ φύλλων 61 ὕψ. 0,23 καὶ πλ. 0,17.

Καλλινίκου Κ/πόλεως «ἑρμηνεία πῶς χρεωστεῖ ὁ ἱερεὺς καὶ ὁ διάκονος νὰ ὑπηρετῶσιν εἰς τὴν ἁγίαν ἐκκλησίαν καὶ νὰ ἑτοιμάζωνται διὰ τὴν ἱεροπραξίαν, καὶ μάλιστα διὰ τὴν θείαν λειτουργίαν καὶ εἰς ἀνάγκας τινὰς καὶ ἀπορίας συμβαινούσας ἐξαίφνης, καὶ πῶς γίνεται ἡ διόρθωσις αὐτῶν· μετεφράσθη ἐκ τοῦ σλοβανοῦ». Ἀρχ. «Εἰς τὸν νόμον τῆς χάριτος». Εἰς φ. 61· «τέλος καὶ τῷ Θεῷ δόξα, δεκεμβρίου β', διὰ χειρὸς τοῦ ἀναξίου παπᾶ

[1] Ἐννοεῖται ὁ οἰκουμενικὸς πατριάρχης Σαμουὴλ ὁ Χαντζερῆς.

Χάννα Βηθλεεμίτη, ὃν οἱ ἀναγινώσκοντες μέμνησθε». Ἐγράφη δὲ περὶ τὸ τέλος τῆς ΙΗ' ἑκατονταετηρίδος.

535. Τεῦχος χαρτῷον τῆς ΙΗ' ἑκατ. ἐκ φύλλων ἠριθμημένων 70· ἀλλ ἐλλείπουσι νῦν τὰ ἑξῆς φύλλα, ἀποκοπέντα ὡς φαίνεται διὰ ψαλλίδος· α', κς', λδ'—μ', ξβ', ξε'—ξη'.

Θέματα ἐπιστολογραφίας. Μεταξὺ τῶν φύλλων λα'—λγ' παρενεβλήθη «θέμα ἓν ὁλόκληρον περὶ ἀρετῆς, ὃ δὴ παρὰ τοῦ ἐλλογιμωτάτου κυρίου Ἰωακεὶμ Παρίου τοῦ διδασκάλου τῆς σχολῆς τῆς ἐν Κωνσταντινουπόλει» (συνετέθη).

536. Τεῦχος χαρτῷον ἐκ φύλλων 338 ὕψ. 0,22 καὶ πλ. 0,168. Καθ' ἑκάστην σελίδα 23 ἢ 24 στίχοι (0,165×0,11). Ἐπὶ ἀγράφου φύλλου σημείωσις· «καὶ τόδε σὺν τοῖς ἄλλοις Γαβριὴλ ἀρχιμανδρίτου ἁγιοταφίτου, τῷ χρηματίσαντι εἰς Λάρισσαν τῷ ἐξ Ἄνδρου». Ἐν ταῖς ὤαις τοῦ πρώτου φύλλου· «ἐκ τῶν τοῦ Κωνσταντίνου Τριανταφυλλίδου τοῦ ἐκ Ζαγορᾶς», «αὐτὸ χαρτὶ εἶναι τοῦ Ἀντώνη· τοῦ ἔδωσε ὁ δασκαλὸς Γεώργιος τοῦ Γκίκα Ζαγοριανός».

«Τοῦ σοφωτάτου καὶ λογιωτάτου Θεοφίλου τοῦ Κορυδαλλέως τοῦ Ἀθηναίου εἰς τὰ περὶ ψυχῆς τοῦ Ἀριστοτέλους βιβλία ὑπομνήματα», ὧν ἡ ἀρχή· «Τὸ φυσιολογικὸν τῆς θεωρίας μέρος» κτλ. Μετὰ τὸ κείμενον· «τέλος τῆς ὅλης περὶ ψυχῆς πραγματείας· γέγραπταί μοι καὶ τόδε Κωνσταντίνῳ τῷ Ζαγοραίῳ ἐν Βουκουρεστίῳ διατρίβοντι ἐν ἔτει ,αψνγ', παραδοθὲν παρὰ τοῦ σοφωτάτου διδασκάλου κυρίου Ἀλεξάνδρου τοῦ ἐκ Τυρνάβου Λαρίσσης».

537. Τεῦχος χαρτῷον ἐκ φύλλων 219 ὕψ. 0, 14 καὶ πλ. 0,12, γραφὲν ἐν ἔτει 1470. Καθ' ἑκάστην σελίδα 20 στίχοι (0,075×0,05). Ἐν ἀρχῇ τοῦ βιβλίου τέσσαρα πρόσθετα φύλλα, ὧν τὸ τρίτον περιέχει σημείωμα ἀνορθόγραφον λέγον ταῦτα· «Ἀπὸ Ἀδὰμ ,ζσλζ' ✝ ἔτους 1729 φεβρουαρίου 28, τέλος τοῦ βισέκτου. ✝ Ἐνθύμησις ὅταν ἐκατέβασεν ἡ Σαλαμπρία καὶ ἔπνιξεν τὴν Λάρισσα, τὸν Πέρα-Μαχαλά, τὸν Ταπακίδων-Μαχαλὰ καὶ Ἀρναούτ-Μαχαλὰ καὶ ἄλλα χωρία, τὴν πέπτη τὸ βράδι, παρασκευῇ ξημερόνοντας· ὁμοίως καὶ εἰς Τρίκκαλα καὶ εἰς τὸ Μοσχολουρὶ καὶ τὸν

κά(μ)πο νέος κατακλυσμὸς τοῦ Νῶε ἔγινε. Ἰουστῖνος ἱερομόναχος ἁγιοταφίτης». — Τέσσαρα πρόσθετα φύλλα καὶ ἐν τέλει τοῦ τεύχους, ἐν οἷς ὑπάρχουσι τὰ ἑξῆς αὐτοβιογραφικὰ σημειώματα τοῦ Γάζης μητροπολίτου Χριστοδούλου [1]. «Ἐτοῦτον τὸ ψαλτήριον ὑπάρχει ἐμοῦ τοῦ ἐλαχίστου ἐν ἱερομονάχοις Χριστοδούλου κτλ.— Χριστοῦ 1663 εἰς τοὺς ‚ζροα′ τὸν μῆναν τὸν ὀκτώβριον ἠξίωσέν με ὁ Κύριος τοῦ θείου καὶ ἱεροῦ ἀξιώματος τῆς ἱερωσύνης· οἱ ἀναγινώσκοντες εὔχεστε ὑπὲρ ἐμοῦ διὰ τὸν Κύριον ἵνα τύχω ἀφέσεως.—Εἰς τοὺς 1666 τὸν μῆνα τὸν νοέμβριον εἰς τὴν ι′ ἦλθα εἰς τὴν ἁγίαν πόλιν Ἱερουσαλὴμ καὶ ἐπροσκύνησα τὸν ἅγιον καὶ ζωοδόχον τάφον τοῦ Χριστοῦ καὶ τὰ ἄλλα ὅσα εὑρίσκονται ἱερὰ καὶ σεβάσμια. — 1671 μαΐου 14 κυριακῇ τοῦ παραλύτου ἐχειροτονήθην ἀρχιερεὺς ἀπὸ τοῦ μακαριωτάτου καὶ παναγιωτάτου πατριάρχου Ἱεροσολύμων κυρίου κυρίου Δοσιθέου, αὐθεντὸς καὶ δεσπότου μου· πολλὰ τὰ ἔτη». — «1702 ἰανουαρίου 15 ἐκοιμήθη ὁ ἄνωθεν ἀρχιεπίσκοπος Γάζης κῦρ Χριστόδουλος ἐν τῇ ἁγίᾳ πόλει Ἱερουσαλήμ, καὶ ἐτάφη ἐν τῇ ἁγίᾳ Σιών, ἄνθρωπος ἀσκητικώτατος καὶ ἁγιώτατος, οὗ καὶ τὸ παρὸν ἦν ψαλτήριον».

1. Ψαλτήριον πλῆρες εἰς φύλλα 156, ἔχον μετὰ τὴν Ἐζεκίου προσευχὴν τὸ ἑξῆς σημείωμα τοῦ καλλιγράφου· «✝ Χριστὲ δίδου πονέοντι τεὴν πολύολβον ἀρωγήν: τέλος: ἐτελειώθη μηνὶ σεπτεμβρίῳ εἰς τὰς ιγ′, ἔτους ‚ςϠοθ′».

2. «Στιχηρὰ τῆς ὑπεραγίας Θεοτόκου εἰς τὸν ἀκάθιστον». φ. 156β—169.

3. «Ἀκολουθία τοῦ ψαλτηρίου», ἤτοι τροπάρια καὶ εὐχαὶ τῶν καθισμάτων, φ. 170—215.

4. «Κανὼν τῆς ὑπεραγίας Θεοτόκου», φ. 215β—219.

538. Ἀνθολογία ἐκκλησιαστικῆς μουσικῆς, γραφεῖσα περὶ τὰς ἀρχὰς τῆς ΙΗ′ ἑκατ. καὶ περιλαμβάνουσα συνθέσεις πολυαρίθμων ψαλτῶν, ὡς Γρηγορίου Μπούνη, Ξένου Κορώνη, Ἰωάννου Κου-

[1] Ὅρα περὶ αὐτοῦ τ. Ι, σ. 247, τῶν ἀναλέκτων τῆς ἱεροσολυμιτικῆς σταχυολογίας καὶ σ. 85—87 τοῦ μουσείου καὶ τῆς βιβλιοθήκης τῆς ἐν Σμύρνῃ εὐαγγελικῆς σχολῆς (1876), ἔνθα κατεχώρισα ἀξιόλογον ἱστορικὸν ποιημάτιον τοῦ Χριστοδούλου Γάζης.

κουζέλη, Ἰωάννου Ξηροῦ, Μανουὴλ Χρυσάφου τοῦ παλαιοῦ, Γεωργίου Παναρέτου, Ἰωάννου Κλαδᾶ, Κοντοπετρῆ, Ἀρκαδίου μοναχοῦ, Γεωργίου Σγουροπούλου, Δοκιανοῦ, Ἀγαλλιανοῦ, Χαλιβούρη, Ἀθανασίου μοναχοῦ, Τζακνοπούλου, Ἀγάθωνος Μοσχιανοῦ, Στυλιανοῦ ἱερέως, Δούκα Λαοσυνάκτου, Μιχαὴλ Φωκαέως, Κουκουμᾶ, Γαβριὴλ Ξανθοπούλου, Μπαλασίου καὶ ἄλλων· ἔτι δὲ περιέχονται ἐν αὐτῇ μέλη ἁγιορειτικά, ἁγιοσοφιτικά, φραγκικὰ καὶ πολυχρονισμοὶ τῶν πατριαρχῶν Παϊσίου Κωνσταντινουπόλεως, Γερασίμου Ἀλεξανδρείας, Νεοφύτου Ἀντιοχείας καὶ Χρυσάνθου Ἱεροσολύμων. Τεῦχος χαρτῷον ἐκ φύλλων 580 ὕψ. 0, 254 καὶ πλ. 0,18.

539. «Δοξαστικάριον σὺν θεῷ ἁγίῳ περιέχον πάντα τὰ δοξαστικὰ τῶν δεσποτικῶν καὶ θεομητορικῶν ἑορτῶν καὶ τῶν λοιπῶν ἑορταζομένων ἁγίων, συντεθὲν κατὰ συντομώτερον τρόπον ἐκ θέσεων στιχηρῶν τε καὶ εἱρμολογικῶν παρὰ τοῦ πρωτοψάλτου τῆς μεγάλης ἐκκλησίας κῦρ Ἰακώβου, δι' αἰτήσεως τοῦ πανιερωτάτου μητροπολίτου ἁγίου Δημητριάδος καὶ Ζαγορᾶς κῦρ Ἀθανασίου». Τεῦχος χαρτῷον ἐκ φύλλων 118 ὕψ. 0, 248 καὶ πλ. 0,182, γραφὲν περὶ τὰς ἀρχὰς τοῦ νῦν αἰῶνος.

540. Κρατηματάριον συντεθειμένον ἐκ μαθημάτων διαφόρων ψαλτῶν, ἔχον δ' ἐν ἀρχῇ «κοντάκιον μετὰ τῶν οἴκων ψαλλόμενον τῷ σαββάτῳ τῆς ἀκαθίστου· κυροῦ Ἰωάννου τοῦ Κουκουζέλη, ἦχος πλ. δ'». Μετὰ τὸ κείμενον τοῦ βιβλίου σημείωσις ἐρυθρά, ἧς παραλείπονται ὧδε τὰ ἐσφαλμένως γεγραμμένα· «ἡ παροῦσα αὕτη ᾀσματομελομελομουσουργικὴ βίβλος ἡ περιέχουσα τοὺς οἴκους τῆς ὑπεραγίας Θεοτόκου καὶ ἀκολούθως τὸ κρατηματάριον ὁλόκληρον ἐγράφθη ἰδιοχείρως παρ' ἐμοῦ τοῦ εὐτελοῦς Δημητρίου Λότου ἐκ τῆς νήσου Χίου καὶ ποτὲ ψάλτου τῆς τῶν Σμυρναίων ἐκκλησίας, ἐπιμελείᾳ δὲ καὶ ἀναλώμασι τοῦ ὁσιωτάτου καὶ μουσικωτάτου ἐν ἱεροδιακόνοις κυρίου κῦρ Ἰωακεὶμ τοῦ ἐκ τῆς παλαιᾶς Πάτρας, τανῦν δὲ ἀφιερωμένο καὶ ὑποτεταγμένο σὺν τοῖς λοιποῖς τῷ παναγίῳ καὶ ζωοδόχῳ τάφῳ τοῦ Κυρίου. Ὅθεν ὅσοι τῶν εὐσεβῶν κτλ.... ͵αψξθ (=1769), μαρτίου λ'». Τεῦχος χαρτῷον ἐκ φύλλων 200 ὕψ. 0, 238 καὶ πλ. 0,175.

541. «Ἀρχὴ σὺν θεῷ ἁγίῳ τῶν κατ' ἦχον θεοτοκίων μαθημάτων τε καὶ ποιημάτων διαφόρων ποιητῶν», ὧν τὸ πρῶτον Κλήμεντος ἱερομονάχου. Τεῦχος χαρτῷον ἐκ φύλλων 236 καὶ 22 ἀγράφων ὕψ. 0,233 καὶ πλ. 0,17. Εἰς φ. 236· «1768 ἰουνίου 10, ἡ βίβλος πρὸς τὸν ἔξοντα· Γίνωσκέ με ἄριστε ὁ ἐν χερσὶ κατέχων | κτῆμά τε καὶ πόνημα Ἰωακεὶμ τελέθον(τα), | οὗ τὸ γένος τε καὶ ἡ πατρὶς αἱ παλαιαὶ Πάτραι, | ἐξ ὧν στολὴν λαμβάνουσιν αἱ Ἀχαΐαι πᾶσαι, | χιλίῳ δὲ μετὰ Χριστὸν ἑβδόμ' ἑκατοντάδι | ἑξηκοστῷ ὀγδόῳ τε μηνὶ 'κατομβαιῶνι. | Τὰ μέγιστα 'κοπίασε ἕως μοι τέλος βάλλει· | ὅθεν χρεώστης ἔμεινας τοῦ δι' αὐτὸν διδόναι | ψυχὴν πρὸς μόνον τὸν Θεὸν ἀπαλλαγὴν εὑρῆναι, | τοσοῦτον κοπιάσαντα ὥστε μοι τέλος θεῖναι | καὶ ἐν ταῖς γε σαυτοῦ χερσὶ μετὰ χαρᾶς ἀφεῖναι: — Ἡ βίβλος πρὸς ἑαυτήν: Ἐγὼ εἰμὶ μουσουργικὴ ψαλτεῖρα τοῦ Δαβίδου | , ἣν ἔψαλλεν μετὰ χαρᾶς πρὸς δόξαν τοῦ Κυρίου· | ὅθεν τὴν ἀπαλλαγὴν εὕρατο ἐκ τοῦ Κυρίου. — Ἡ βίβλος πρὸς τὸν μουσικόν: Ποίησον τοίνυν καὶ αὐτὸς ὡς ὁ ἡμῶν προπάτωρ, | ὅπως συγχωρήσῃ σοι Κύριος παντοκράτωρ».

542. «Ἀρχὴ σὺν θεῷ ἁγίῳ στιχηράριον καλόφωνον περιέχον πᾶσαν τὴν ἀκολουθίαν τῶν τροπαρίων τοῦ ὅλου ἐνιαυτοῦ κατὰ τάξιν συντεθεῖσαν εἰς νέον καλλωπισμὸν παρὰ κῦρ Χρυσάφη καὶ πρωτοψάλτου τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας». Τεῦχος χαρτῷον τῆς ΙΖ' ἑκατ. ἐκ φύλλων 166 ὕψ. 0,242 καὶ πλ. 0,165. Εἰς φ. 1 σημείωσις· «ἐδόθη μοι δῶρον παρὰ τοῦ ἀρχιμανδρίτου παπᾶ κῦρ Εὐγενίου τοῦ Πελοποννησίου». Καὶ εἰς φ. 2 «ἐδόθη μοὶ δῶρον παρὰ τῷ πανιερωτάτῳ μοι δεσπότῃ κυρίῳ Ἀνανίᾳ. ,αψμζ' ἰουνίου α'». Καὶ ἔσωθεν τῆς δευτέρας πινακίδος· «ἐν τῷ ,αψπε' ἐν μηνὶ μαΐῳ κ' ἐδόθη μοι τῷ εὐτελεῖ Προκοπίῳ ἱερομονάχῳ Σμυρναίῳ εἰς μάθησιν· αὐτῷ καὶ πάλιν νὰ δίδεται τῷ κοινῷ», ἤτοι τῇ χαμαρασίᾳ τῆς ἁγιοταφιτικῆς ἀδελφότητος.

543. Ἐκκλησιαστικῆς μουσικῆς χαρτῷον τεῦχος ἐκ φύλλων 53 ὕψ. 0,24 καὶ πλ. 0,176. Ἐν ἀρχῇ δὲ κεῖται «ἀκάθιστος ποιηθεῖσα παρὰ κυρίου Ἰωάννου λαμπαδαρίου τοῦ Κλαδᾶ, μιμου-

μένου κατὰ τὸ δυνατὸν τὴν παλαιάν, ὡς αὐτὸς γράφει». Εἰς φ. 52· «τέλος καὶ τῷ Θεῷ δόξα· ἐγράφη δὲ παρὰ Νεκταρίου ἱερομονάχου τοῦ Μιτυληναίου κατὰ τὸ ͵αψλη΄ ἔτος, κατὰ μῆνα ἀπρίλιον, καὶ οἱ ἐν τούτῳ ἐντυγχάνοντες εὔχεσθε ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ». Εἶτα· «Ἀθανασίου Ἡρακλείας διακόνου σὺν ἄλλοις πέλω | καὶ μαθημάτων πάντερπνον σύνθεσιν ὧδε φέρω».

544. «Ἀρχὴ σὺν θεῷ ἁγίῳ τῆς παρούσης ἀνθολογίας τοῦ στιχηραρίου, ἥτις περιέχει τὰ δοξαστικὰ τῶν δεσποτικῶν καὶ θεομητορικῶν ἑορτῶν καὶ ἄλλων ἑορταζομένων ἁγίων τοῦ ἐνιαυτοῦ, συντεθέντα παρὰ τοῦ μουσικολογιωτάτου ἡμετέρου διδασκάλου λαμπαδαρίου τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας κῦρ Πέτρου τοῦ Πελοποννησίου». Τεῦχος χαρτῷον ἐκ φύλλων 128 ὕψ. 0,235 καὶ πλ. 0,168. Μετὰ τὸ κείμενον· «τέλος καὶ τῷ Θεῷ δόξα· τὸ παρὸν ἐγράφη παρ' ἐμοῦ Δοσιθέου Ἀμπελακιώτου 1805, ἰουνίου 27». Εἶτα· «ὠνήθη δὲ ὑπὲρ ἐμοῦ Φιλήμονος τοῦ Κυπρίου ἁγιοταφίτου ἀργυρίοις πεντήκοντα· 50· ἐν Κωνσταντινουπόλει, ͵αωιβ΄ μὴν νοεμβρ. Τῷ ͵αωλζ΄ ἐχειροτονήθην ἀρχιερεὺς τῆς Γάζης, μὴν ἰανουάριος τῇ 11 τοῦ ἁγίου Γρηγορίου Νύσσης».

545. «Εἱρμολόγιον σὺν θεῷ ἁγίῳ πλουσιώτατον, νεωστὶ τονισθὲν παρὰ κῦρ Μπαλασίου ἱερέως καὶ νομοφύλακος τῆς μεγάλης ἐκκλησίας, καθὼς τανῦν ἐν τῇ Κωνσταντινουπόλει ψάλλεται». Τεῦχος χαρτῷον ἐκ φύλλων 137 ὕψ. 0,228 καὶ πλ. 0,171, γραφὲν περὶ τὰς ἀρχὰς τοῦ παρόντος αἰῶνος.

546. Τεμάχιον δοξασταρίου τῆς ΙΖ΄ ἑκατ. ἐκ φύλλων 148 ὕψ. 0,234 καὶ πλ. 0,162· ἄρχεται δὲ ἀπὸ τῆς παρασκευῆς ἑσπέρας τῆς τυροφάγου ἑβδομάδος.

547. Πέτρου λαμπαδαρίου «ἀνθολογία, ἤτοι συλλογὴ μαθημάτων καὶ ποιημάτων καὶ ἐξηγήσεων ἐκ τῶν παλαιῶν συνθέσεων διαφόρων νέων ποιητῶν». Τεῦχος χαρτῷον ἐκ φύλλων 315 ὕψ 0,23 καὶ πλ. 0,16, γραφὲν περὶ τὸ τέλος τῆς ΙΗ΄ ἑκατονταετηρίδος.

548. «Ἀρχὴ σὺν θεῷ ἁγίῳ στιχηράριον καλόφωνον, περιέχον πᾶσαν τὴν ἀκολουθίαν τῶν τροπαρίων τοῦ ὅλου ἐνιαυτοῦ

κατὰ τάξιν συντεθεῖσαν εἰς νέον καλλωπισμὸν παρὰ κυρίου Χρυσάφου καὶ πρωτοψάλτου τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας». Τεῦχος χαρτῷον ἐκ φύλλων 286 ὕψ. 0,223 καὶ πλ. 0,16. Εἰς φ. 283· «εἴληφε τέλος ἡ παροῦσα ᾀσματομελιρρυτόφθογγος βίβλος ἐν ἔτει ἀπὸ Ἀδὰμ ͵ζρϙγ', ἀπὸ δὲ τῆς ἐνσάρκου οἰκονομίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ͵αχπε', ἰνδικτιῶνος η', ἰουλίου γ', ἡμέρᾳ παρασκευῇ, διὰ συνδρομῆς καὶ δαπάνης τοῦ τιμιωτάτου καὶ μουσικωτάτου κυρίου κυρίου κῦρ Σάββα υἱοῦ χατζῆ Γρηγόρη· ἐγράφη δὲ καὶ παρ' ἐμοῦ τοῦ εὐτελοῦς καὶ ἁμαρτωλοῦ τε καὶ ἀμαθοῦς Ἀντωνίου ἱερέως· ὅσοι δὲ τῶν εὐσεβῶν» κτλ. Εἰς φ. 286· «τὸ παρὸν βιβλίον ὑπάρχει κἀμοῦ Ἰωακεὶμ Πελοποννησίου ἀπὸ παλαιὰν Πάτραν».

549. «Ἀρχὴ σὺν θεῷ ἁγίῳ τῶν δοξαστικῶν τοῦ ὅλου ἐνιαυτοῦ, τῶν τε δεσποτικῶν καὶ λοιπῶν ἁγίων ἑορτῶν». Τεῦχος χαρτῷον τῆς ΙΗ' ἑκατ. ἐκ φύλλων 134 ὕψ. 0,22 καὶ πλ 0,162.

550. Ἀνθολογία ἐκκλησιαστικῶν ᾀσμάτων μεμελισμένων καὶ τετονισμένων παρὰ διαφόρων ψαλτῶν, ἧς προὐτάχθη ἡ συνήθης περὶ σημαδοφώνων διδασκαλία. Τεῦχος χαρτῷον τῆς ΙΗ' ἑκατ. ἐκ φύλλων 864 ὕψ. 0, 222 καὶ πλ. 0,162.

551. Ἐκκλησιαστικῆς μουσικῆς τεῦχος, γραφὲν ἀρχομένης τῆς ἐνεστώσης ἑκατονταετηρίδος (0,223 × 0,167). «Ἀρχὴ σὺν θεῷ τοῦ παπαδικοῦ μέλους. Πολυέλεος τοῦ κῦρ Πέτρου τοῦ Βυζαντίου τοῦ Μπερεκέτη· ἄρχεται δὲ ἐκ τοῦ πα». Ἐν τέλει· «τοῦ Κουκουζέλους ἐπιφωνήματα». Φύλλα 137.

552. Ἐκκλησιαστικῆς μουσικῆς τεῦχος (0,226 × 0,165) γραφὲν τελευτώσης τῆς ΙΗ' ἑκατ. «Δοξαστικὰ τῶν δεσποτικῶν καὶ θεομητορικῶν ἑορτῶν καὶ τῶν λοιπῶν ἑορταζομένων ἁγίων, καί τινα ἰδιόμελα τοῦ τριῳδίου καὶ πεντηκοσταρίου, συντεθέντα κατὰ συντομώτερον τρόπον παρὰ τοῦ μουσικολογιωτάτου πρωτοψάλτου τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας κῦρ Ἰακώβου, δι' αἰτήσεως τοῦ πανιερωτάτου μητροπολίτου ἁγίου Δημητριάδος καὶ Ζαγορᾶς κυρίου Ἀθανασίου, φιλομούσῳ γνώμῃ κινηθέντος πρὸς πλείονα καλλωπισμὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας». Φύλλα 126.

553. Ἐκκλησιαστικῆς μουσικῆς τεῦχος (0,215 × 0,158) ἐκ φύλλων 258, γραφὲν ἐν ἔτει 1749 καὶ ἀποτελούμενον νῦν ἐκ τῶν τετραδίων κε'—νϛ'. Στιχηράριον καὶ δοξαστάριον ἀρχόμενον ἀπὸ τῆς 1 φεβρουαρίου, ἔχον δ' ἐν τέλει τὸ ἑξῆς σημείωμα· «ἐγράφη ἡ παροῦσα ᾀσματομελίρρυτος καὶ ψυχοσωτήριος βίβλος διὰ χειρὸς Ἰγνατίου καὶ ἐλαχίστου τῶν ἱερομονάχων εἰς τοὺς ,αψμθ'».

554. Ἐκκλησιαστικῆς μουσικῆς τεῦχος (0,218 × 0,158) ἐκ φύλλων 341 ἢ τετραδίων λδ' + η' 5/8, γραφὲν ἐν ἔτει 1684. «Ἀρχὴ σὺν θεῷ ἁγίῳ τῶν στιχηρῶν τοῦ ὅλου ἐνιαυτοῦ ποιηθέντων παρὰ διαφόρων ποιητῶν, καλλωπισθέντων δὲ παρὰ τοῦ Κουκουζέλη, ὕστερον δὲ παρὰ κῦρ Μανουὴλ τοῦ Χρυσάφη». Ἐν φ. 9 στιχηρὸν εἰς τὸ γενέσιον τῆς Θεοτόκου ποιηθὲν παρὰ τοῦ ἐν ἱερομονάχοις Γρηγορίου τοῦ ἐκ Σηλυβρίας. Ἐν φ. 105β σημείωσις ἐντὸς κεχρωματισμένου κοσμήματος, ὅτι «τὸ παρὸν ὑπάρχει Ἰωακεὶμ ἱεροδιακόνου Πελοποννησίου ἐκ τῆς παλαιᾶς Πάτρας». Ἐν φ. 320 τὸ «ἔτος ,ζρϞβ'», καὶ ἐν τέλει τοῦ τεύχους ἐρυθρὰ σημείωσις λίαν ἀνορθόγραφος, «ὅτι πέρας ἔλαβεν τὸ παρὸν βιβλίον παρ' ἐμοῦ τοῦ ἐλαχίστου Γαβριὴλ ἱερομονάχου ἐμπόνως καὶ μετὰ πολλοῦ κόπου, ἤγουν τὰ στιχηρὰ τοῦ ὅλου ἐνιαυτοῦ μετὰ καὶ τῶν ἀναγραμματισμῶν αὐτοῦ, καθὼς εὑρέθησαν ἐν τῷ ἰδιοχείρῳ βιβλίῳ κῦρ Μανουὴλ τοῦ ἀληθῶς μαΐστορος τοῦ Χρυσάφη, καὶ οὐχὶ καθὼς ἐγράφησαν καὶ ἐποιήθησαν παρὰ τοῦ Μαρουλᾶ ἐκείνου καὶ ἑτέρων ποιητῶν· καὶ οἱ μέλλοντες ἐν αὐτῷ ᾄδειν εὔχεσθέ μοι, εἰ ἐνδέχεται· καὶ γὰρ ἕνεκεν τούτου κεκοπιάκαμεν· τὸ δὲ ἔτος ὑπῆρχεν ἀπὸ κτίσεως κόσμου ,ζρϞβ' κρατ'μττλε».

555. Ἐκκλησ. μουσικῆς τεῦχος (0,212 × 0,162) ἐκ φύλλων 304, γραφὲν τελευτώσης τῆς ΙΗ' ἢ ἀρχομένης τῆς ΙΘ' ἑκατ. «Ἀρχὴ σὺν θεῷ τῶν κεκραγαρίων μετὰ τῶν ἀναστασίμων δογματικῶν». Πρὸς τὸ τέλος ὑπάρχει «πολυέλεος, ποίημα Δαβὶδ ἱερομονάχου τοῦ Μπεναρδὶ ἐν νήσου Σκοπέλου» εἰς ἦχον δ'.

556. Ἐκκλησιαστικῆς μουσικῆς τεῦχος κατὰ τὸ νέον σύστημα (0,215 × 0,15)· σύγκειται δ' ἐκ φύλλων 266. «Ἀνθολογία, ἤτοι συλλογὴ μαθημάτων καὶ ἐξηγήσεων ἐκ τῶν παλαιῶν συνθέσεων

διαφόρων νέων ποιητῶν. Ψάλλεται τὸ παρὸν εἰς τὰς ἀγρυπνίας· σύνθεσις Πέτρου λαμπαδαρίου. Δεξιὸς χορὸς ἦχος πλάγιος δ΄. Ἀνὴρ ἀλληλούϊα μακάριος» κτλ.

557. Μαλαξοῦ νομοκάνων ἐν κεφαλαίοις 293 κατὰ τὸν προτεταγμένον πίνακα· σύγκειται δ' ἐκ φύλλων χαρτῴων 308 ὕψ. 0,21 καὶ πλ. 0,155. Μέχρι φ. 19 ὁ πίναξ τῶν κεφαλαίων. ἐκεῖθεν δὲ τὸ κείμενον, οὗ ἡ ἀρχή· «Περὶ κριτοῦ τοῦ εἶναι εἰς πάντας συμπαθὴς καὶ νὰ μηδὲν πιστεύῃ λόγον τινὸς χωρὶς νὰ ἐξετάζῃ. Ματθαίου τοῦ νομοθέτου, ὃς ἦν ἱερομόναχος καὶ πάνυ σοφώτατος, τὸ ἐπίκλη Βαστάρης. Πρέπει τὸν κριτὴν τουτέστι» κτλ. Ἐν φ. 292 σημείωσις τοῦ καλλιγράφου· « † ἐγράφη τὸ παρὸν νόμιμον διὰ χειρὸς ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ οἰκτροῦ καὶ εὐτελοῦς Ῥηγίνου καὶ ἐλαχίστου τῶν ἱερομονάχων: - μηνὶ δικεβρίω κ΄: - ἐπὶ ἔτους ,ζρκβ ἰνδικτ. ιβ΄» (1613). — Φύλλ. 292[β] «λόγος περὶ μετανοίας συνοπτικὸς καὶ πάνυ ὠφέλιμος», οὗ ἡ ἀρχή· «Μέγα τίποτες καλὸν εἶναι» κτλ. — Φύλλ. 298 «λόγος ἁπλὸς καὶ ὠφέλιμος κατὰ πολλὰ περὶ τοῦ ἀπέχεσθαι ἔργου τῆς ἁγίας κυριακῆς καὶ τῶν μεγάλων ἀρετῶν» κτλ., οὗ ἡ ἀρχή· «Πᾶσαν νύκτα καὶ καθ' ἑκάστην».

558. Ἐκκλησιαστικῆς μουσικῆς τεῦχος (0,212 × 0,163) ἐκ φύλλων 123, γραφὲν μεσούσης τῆς ΙΗ ἑκατ. «Ἀρχὴ σὺν θεῷ ἁγίῳ ἀνθολόγιον περιέχον πᾶσαν τὴν ἀκολουθίαν τῶν ἑορτῶν καὶ τῶν ἑορταζομένων ἁγίων, ποιηθὲν δὲ καὶ καλλωπισθὲν ὑπὸ τοῦ μακαρίτου κῦρ Χρυσάφου τοῦ νέου».

559. Ἐκκλησιαστικῆς μουσικῆς τεῦχος (0,20 × 0,16) ἐκ φύλλων 290, γραφὲν περὶ τὸ τέλος τῆς ΙΖ΄ ἑκατ. «Ἀρχὴ σὺν θεῷ ἁγίῳ τῶν κανόνων, ὡς καθὼς τανῦν ᾀσματομελῳδοῦνται ἐν Κωνσταντινουπόλει. Ποίημα παπᾶ κῦρ Μπαλασίου καὶ νομοφύλακος».

560. Ἐκκλησιαστικῆς μουσικῆς τεῦχος (0,125 × 0,08) ἐκ φύλλων 228, γραφὲν ὑπερμεσούσης τῆς ΙΗ΄ ἑκατ. Μικρὰ ἀνθολογία, ἧς ἐν ἀρχῇ κεκραγάρια μετὰ τῶν «κατευθυνθείτω».

561. Ἐκκλησιαστικῆς μουσικῆς τεῦχος (0,152 × 0,106) ἐκ φύλλων 196, γραφὲν ἀρχομένης τῆς ΙΖ΄ ἑκατ. Ἐν φύλλῳ 12

ὑπάρχει τύπος σφραγῖδος μετὰ τοῦ ἔτους 1684. Περιεχόμενα· α') «είρμοὶ κεκαλλωπισμένοι εὐθυμίας χάριν»· β') «εἱρμολόγιον σὺν θεῷ ἁγίῳ κεκαλλωπισμένον παρὰ κῦρ Θεοφάνους τοῦ Καρύκη», φ. 3—178· γ') εὐχαὶ παρακλητικαί· δ') κεκραγάρια μετὰ παρασημάνσεως.

562. Δοξαστάριον ἀκέφαλον καὶ ἀνώνυμον, γραφὲν ἀρχομένης τῆς ΙΗ' ἑκατ. καὶ συγκείμενον ἐκ φύλλων 187. Ὕψ. 0,224 καὶ πλ. 0,162.

563. Ἀνθολογία ἐκκλησιαστικῆς μουσικῆς, ἧς προτέτακται ἡ συνήθης περὶ σημαδίων διδασκαλία. Σύγκειται ἐκ φύλλων 442, ἐγράφη δὲ ἀρχομένης τῆς ΙΗ' ἑκατ. Ὕψ. 0,211 καὶ πλ. 0,161.

564. Στιχηράριον τοῦ ἐνιαυτοῦ μετὰ παρασημάνσεως, οὗ προὐτάχθησαν ἐν πεζῷ λόγῳ εἱρμοὶ καὶ καταβασίαι· ἐγράφη δὲ ἀρχομένης τῆς ΙΖ' ἑκατ. Φύλλα 223. ὕψ. 0,215 καὶ πλ. 0,16.

565. Ἀνθολογία ἐκκλησιαστικῆς μουσικῆς ἐμπεριέχουσα μελῳδίας πολυαρίθμων μουσικῶν· προτέτακται δὲ ἡ συνήθης περὶ σημαδίων διδασκαλία. Ἐγράφη ἀρχομένης τῆς ΙΗ' ἑκατ. καὶ σύγκειται ἐκ φύλλων 393.

566. «Ἀνθολόγιον σὺν θεῷ ἁγίῳ πλουσιώτατον περιέχον ἅπασαν τὴν πρέπουσαν ἀκολουθίαν τοῦ ὅλου ἐνιαυτοῦ» μετὰ παρασημάνσεως· ἐγράφη δὲ τελευτώσης τῆς ιη' ἑκατ. παρὰ Σταματίου διακόνου, καὶ σύγκειται ἐκ φύλλων 200.

567. Ἀνθολόγιον ἐκκλησιαστικῆς μουσικῆς, γραφὲν ἀρχομένης τῆς ιζ' ἑκατ. καὶ ἀποτελούμενον ἐκ φύλλων 240 ὕψ. 0,192 καὶ πλ. 0,145. Ἐν ἔτει δὲ 1697 ἦν κτῆμα Ἀβραμίου ἱερομονάχου ἁγιοταφίτου τοῦ ἐκ Κύπρου.

568. Ἐκκλησιαστικῆς μουσικῆς ἀνθολόγιον περιέχον καί τινας καλοφωνικοὺς εἱρμούς· ἐγράφη δὲ τῇ 8 ἀπριλίου 1823 καὶ σύγκειται ἐκ φύλλων 153 ὕψ. 0,188 καὶ πλ. 0,141.

569. Ὀκτώηχος μετὰ παρασημάνσεως ἐκ φύλλων 85, ἧς ἐν τέλει τὸ «ἐν μηνὶ αὐγούστου 14: 1809».

570. Εἱρμολόγιον ἀκέφαλον μετὰ παρασημάνσεως, γραφὲν περὶ τὸ τέλος τῆς ιη' ἑκατ. καὶ ἀποτελούμενον ἐκ φυλλων 93.

571. Ἀνθολόγιον ἐκκλησιαστικῆς μουσικῆς γραφὲν ἀρχομένης τῆς ἐνεστώσης ἑκατ. καὶ ἀποτελούμενον ἐκ φύλλων 264 ὕψ. 0,17 καὶ πλ. 0,119.

572. Ἀνθολόγιον ἐκκλησιαστικῆς μουσικῆς γραφὲν ἐν ἔτει 1745 καὶ συγκείμενον ἐκ φύλλων 169 ὕψ. 0,175 καὶ πλ. 0,118· προτέτακται «ἀκάθιστος ποιηθεῖσα παρὰ κῦρ Ἰωάννου λαμπαδαρίου τοῦ Κλαδᾶ καὶ ἐν μουσικοῖς ἀρίστου». Ἐν τέλει σημείωσις «ἐτελειώθη τὸ παρὸν βιβλίον παρ' ἐμοῦ Ἰωάννου πρωτοψάλτου τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, ἐν ἔτει ͵αψμε' μαΐῳ».

573. «Ἀναστασιματάριον σὺν θεῷ ἁγίῳ συντεθὲν κατὰ τὸ ὕφος τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας κῦρ Πέτρου τοῦ Πελοποννησίου ἐπ' ὠφελείᾳ ἡμῶν τῶν χριστιανῶν». Νέον σύστημα. Φύλλα 111 ὕψ. 0,18 καὶ πλ. 0,122.

574. Ἀνθολογία ἐκκλησιαστικῆς μουσικῆς ἐκ φύλλων 493, γραφεῖσα κατὰ τὴν ΙΗ' ἑκατ. Ὕψ. 0,17 καὶ πλ. 0,11.

575. Ἀναστασιματάριον καὶ κεκραγάριον ἐκ φύλλων 254, γραφὲν κατὰ τὴν ΙΗ' ἑκατ. Ὕψ. 0,182 καὶ πλ. 0,13. Ἐν τέλει· «ἑωθινὰ σὺν θεῷ ἁγίῳ, σύνθεσις κῦρ Ἰακώβου πρωτοψάλτου· ἐξηγήθησαν δὲ παρὰ τοῦ λογιωτάτου Ἀποστόλου Κώνστα Χίου». Ἐν ἀρχῇ σημειώσεις· «κτῆμα τοῦ ἀπὸ Πελοποννήσου ἱεροδιακόνου Παρθενίου ἐκ Δημητζάνης — νῦν δὲ Ἰωακεὶμ ἱεροδιακόνου ἐκ παλαιᾶς Πάτρας».

576. Ἀνθολογία ἐκκλησιαστικῆς μουσικῆς, ἔχουσα ἐν ἀρχῇ τὸν μέγαν ἑσπερινὸν τοῦ Κουκουζέλη κατὰ τὴν ἐξήγησιν Πέτρου λαμπαδαρίου τοῦ Πελοποννησίου. Φύλλα 197 εἰς μικρὸν σχῆμα· ἐγράφη δὲ κατὰ τὴν ἐνεστῶσαν ἑκατονταετηρίδα.

577. Ἀνθολογία ἐκκλησιαστικῆς μουσικῆς ἐκ φύλλων 685, γραφεῖσα κατὰ τὴν ΙΗ' ἑκατ. Ἄρχεται δὲ ἀπὸ κεκραγαρίων. Ὕψ. 0,12 καὶ πλ. 0,09.

578. Παρθενίου Σγούτα ἀνθολογία ἐκκλησιαστικῆς μουσικῆς. Φύλλα 238 ὕψ. 0,17 καὶ πλ. 0,111.

579. Ἀνθολογία ἧς ἐν ἀρχῇ μὲν κοινωνικά, ἐν τέλει δὲ τροπάρια τετονισμένα, ψαλλόμενα εἰς διαφόρους τόπους τοῦ ναοῦ

τῆς Ἀναστάσεως, καὶ πασαπνοάριον Μανουὴλ τοῦ Γαζῆ· ἐγράφη δὲ τελευτώσης τῆς ΙΗ' ἑκατ. Φύλλα 95 ὕψ. 0,165 καὶ πλ. 0,12.

580. Ἀνθολογία, ἧς προὐτάχθησαν κεκραγάρια Πέτρου τοῦ Βυζαντίου· ἐγράφη δὲ ἀρχομένης τῆς ΙΘ' ἑκατ. Φύλλα 218 ὕψ. 0,17 καὶ πλ. 0,12. Ἐν ἀρχῇ σημείωσις τοῦ ἔτους 1815, ὅτι «ἐτελεύτησεν ὁ ἡμέτερος διδάσκαλος κῦρ Γεώργιος Κρήτης μηνὶ δεκεμβρίῳ 7, καὶ ἐνταφιάσαμεν αὐτὸν ἡμέρᾳ τρίτῃ ἐν Κυδωνίαις ἐν τῇ τοῦ Προδρόμου ἐκκλησίᾳ μετὰ παρρησίας καὶ τιμῆς οὐκ ὀλίγης· ἐξεφωνήθη δὲ καὶ λόγος παρὰ τοῦ σοφολογιωτάτου κυρίου Γρηγορίου ὡραιότατος καὶ ἀρίστου διδασκάλου τῆς σχολῆς τῶν Κυδωνιῶν».

581. Ἀνθολογία, ἧς προὐτάχθη διατριβὴ περὶ σημαδοφώνων· μεθ' ἣν οἱ παρὰ Χρυσάνθου καλλωπισθέντες ἀναστάσιμοι καὶ κεκραγάριοι ὕμνοι. Ἐν τέλει δὲ κεῖται «μάθημα εἰς τὴν ὑπεραγίαν Θεοτόκον, ποίημα παρ' ἐμοῦ τοῦ ἰδίου γραφέως», οὗ τὸ ὄνομα Νήφων ἱερομόναχος ὁ ἁγιοταφίτης. Εἰς φ. 119 σημείωσις· «ἔλαβε πέρας ἡ παροῦσα βίβλος κατὰ τὸ 1811 ἔτος αὐγούστου α'». Φύλλα 214 ὕψ. 0,171 καὶ πλ. 0,118.

582. «Ἔκθεσις ῥητορικῶν τινων κανόνων ἱεροκήρυξι μάλιστα συμβαλλομένων, οὓς ἐκ τῆς λατινίδος φωνῆς ὁ ἐν ἱεροδιακόνοις Μακάριος εἰς τὴν ἑλλάδα φωνὴν ἀπανθισάμενος τοῖς φιλολόγοις προὔθηκεν». Ἐγράφη ὑπερμεσούσης τῆς ΙΗ' ἑκατ. ὑπὸ «Ἰακώβου ἱερομονάχου Ἀναστασίου». Σελίδες ρξς' καὶ 5 φύλλα ἀσελίδωτα. Ὕψ. 0,161 καὶ πλ. 0,106. Καθ' ἑκάστην σελίδα 18 στίχοι (0,13 × 0,084).

583. «Νομοκάνων τοῦ ἁγίου Ἰωάννου τοῦ νηστευτοῦ συναγμένος ἐκ πολλῶν διδασκάλων, ὁποῦ περιέχει τοὺς κανόνας τῶν ἁμαρτιῶν: Περὶ πνευματικοῦ πῶς πρέπει κτλ. ὁ πνευματικὸς ὁποῦ δέχεται τοὺς συλλογισμοὺς» κτλ. Ἐγράφη κατὰ τὴν ΙΗ' ἑκατ. Φύλλα 90 ὕψ. 0,16 καὶ πλ. 0,11.

584. Πέτρου λαμπαδαρίου ἀναστασιματάριον, γραφὲν κατὰ τὰς ἀρχὰς τῆς ἡμετέρας ἑκατ. Φύλλα 142 ὕψ. 0,148 καὶ πλ. 0,105.

585. Πέτρου Δαμασκηνοῦ λόγοι, τοῦ αὐτοῦ ὑπόμνησις πρὸς τὴν ἑαυτοῦ ψυχήν, ἀδήλου βίος τοῦ ὁσίου Ἀντωνίου ἐν παραφράσει καὶ διηγήσεις γεροντικοῦ. Ἐν φ. 218 «ἐτελειώθη σὺν θεῷ διὰ χειρὸς Μιχαὴλ Ἀνδρίστου ἐν ἔτει ͵αχη′ σεπτεμβρίου ιγ′». Κατὰ σημείωσιν ἐν τέλει λίαν ἀνορθόγραφον «ἐτοῦτο τὸ χαρτὶ ἤγου(ν) τὸ πατερικὸ(ν) ὑπάρχει τῆς μονῆς τοῦ ἁγίου Σεραφεὶμ τοῦ ἐπονομαζομένου Δόμπα, εἰς τὰ μέρη τῆς Παλιοβούνας» κτλ. Φύλλα 279 ὕψ. 0,15 καὶ πλ. 0,10.

586. Ἀνθολογία ἐκκλησιαστικῆς μουσικῆς ἐμπεριέχουσα σὺν ἄλλοις χερουβικὰ Μπαλασίου, ἕτερα σύντομα Ἀντωνίου ἱερέως, νάϊον περσικὸν Θεοφάνους Καρύκη κλπ. Ἐγράφη δὲ ἀρχομένης τῆς ΙΗ′ ἑκατ. Φύλλα 96 ὕψ. 0,14 καὶ πλ. 0,10.

587. Παρθενίου τοῦ ἐξ Ἐλασσῶνος περιήγησις ἐν Παλαιστίνῃ καὶ Ἀραβίᾳ, ἧς ἡ ἀρχή· «Τὸ λοιπόν, φίλε μου ἄριστε, ἀπ' ἐδῶθεν καὶ ἐκεῖθεν θέλω σᾶς διηγηθῇ» κτλ. Ἀντίγραφον νεώτατον. Φύλλ. 98 ὕψ. 0,15 καὶ πλ. 0,10.

588. «Ἀναστασιματάριον παλαιὸν σὺν θεῷ ἁγίῳ ποιηθὲν ὑπὸ τοῦ πρωτοψάλτου τῆς μεγάλης ἐκκλησίας κῦρ Χρυσάφου τοῦ νέου». Ἐν ἀρχῇ διατριβὴ περὶ σημαδοφώνων. Ἐγράφη περὶ τὸ τέλος τῆς ΙΗ′ ἑκατονταετηρίδος. Φύλλα 100 ὕψους 0,182 καὶ πλάτους 0, 125.

589. Ἀναστασιματάριον Πέτρου Πελοποννησίου κατὰ τὸ νέον σύστημα, ὅπερ ἠγόρασεν ὁ Γάζης ἀρχιεπίσκοπος Φιλήμων διὰ 35 γροσίων. Φύλλα 101 ὕψ. 0,18 καὶ πλ. 0,125.

590. Ἀνθολογία ἐκκλησιαστικῆς μουσικῆς μετὰ τῆς συνήθους περὶ σημαδοφώνων διατριβῆς, γραφεῖσα κατὰ τὴν ΙΖ′ ἑκατ. Ἀνῆκε δὲ πάλαι Δημητράκῃ Γιαβρῇ ψάλτῃ τῷ Σινωπεῖ. Φύλλα 205 ὕψ. 0,168 καὶ πλ. 0,11. Περικάλυμμα δὲ ἔχει μεμβράνινον, ἐν ᾧ ἀναγνώσκεται τεμάχιον χρυσοστομικῆς ὁμιλίας.

591. «Εἱρμολόγιον σὺν θεῷ ἁγίῳ συντεθὲν παρὰ τοῦ μακαρίτου λαμπαδαρίου Πέτρου τοῦ Πελοποννησίου» καὶ ἀντιγραφὲν ἀρχομένης τῆς ἐνεστώσης ἑκατ. Φύλλα 110 ὕψ. 0,171 καὶ πλ. 0,121.

*

592. Ἀνθολογία ἐκκλησιαστικῆς μουσικῆς μετὰ τῆς συνήθους περὶ σημαδοφώνων διατριβῆς. ΙΗ' ἑκατ. Φύλλα 228 ὕψ. 0,175 καὶ πλ. 0,121.

593. Ἑτέρα ἀνθολογία ἀρχομένη ἀπὸ πολυελέου τοῦ λαμπαδαρίου Δανιήλ. ΙΗ' ἑκατ. Φύλλα 230 ὕψ. 0,171 καὶ πλ. 0,12. Μετέπειτα δὲ προσετέθησαν χερουβικὰ τοῦ πρωτοψάλτου Πέτρου. Ἐν φ. 54 δοξολογία Θεοδοσίου ἱεροδιακόνου.

594. Ἀνθολογία ἀρχομένη ἀπὸ τοῦ μεγάλου ἑσπερινοῦ Ἰωάννου τοῦ Κουκουζέλη κατὰ τὴν ἐξήγησιν Πέτρου τοῦ Πελοποννησίου. Ἀρχ. ΙΘ' ἑκατ. Φύλλα 345 ὕψ. 0,171 καὶ πλ. 0,115.

595. Στιχηράριον, οὗ ἐν τέλει· «διὰ χειρὸς Διαμαντῆ θύτου τε καὶ ἱερέως τοῦ ἐκ Χαλδίας, ͵αψιε' αὐγούστῳ δ'». Κατὰ σημείωσιν δὲ τῆς 1 σεπτ. 1769 ἐδόθη τῷ ἁγιοταφίτῃ πρωτοσυγκέλλῳ Χρυσάνθῳ τῷ Σινωπεῖ. Φύλλα 157 ὕψ. 0,175 καὶ πλάτους 0,115.

596. Ἀνθολογία ἀρχομένη ἀπὸ τοῦ ἑσπερινοῦ καὶ τῶν ἀντιφώνων Μανουὴλ πρωτοψάλτου τῆς μεγάλης ἐκκλησίας. Ἀρχ. ΙΘ' ἑκατ. Φύλλα 152 ὕψ. 0,165 καὶ πλ. 0,115.

597. «Καταβασίαι τῶν δεσποτικῶν καὶ θεομητορικῶν ἑορτῶν, συντεθεῖσαι κατὰ τὸ ὕφος τῆς μεγάλης ἐκκλησίας παρὰ τοῦ μουσικολογιωτάτου κῦρ Πέτρου λαμπαδαρίου τοῦ Πελοποννησίου». Εἰς φ. 125· «τὸ παρὸν ἐγράφη παρ' ἐμοῦ Σταυρῆ τοῦ πρωτοψάλτου κῦρ Δανιὴλ ἐν ἔτει ͵αψοδ'». Ἀπὸ φ. 126 ψάλλεται τὸ "Μακάριος Ἀνήρ", «ὅπερ συνετέθη παρὰ τοῦ κῦρ Ἐμμανουὴλ πρωτοψάλτου τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, ἐπὶ τῆς πατριαρχίας τοῦ κῦρ Γρηγορίου τοῦ Πελοποννησίου, τῇ αὐτοῦ ζητήσει: ͵αωη'». Φύλλα 131 ὕψ. 0,166 καὶ πλ. 0,113.

598. «Ἀρχὴ σὺν θεῷ τῆς παρούσης ἀνθολογίας, ὅπερ (= ἥτις) περιέχει ποιήματα νέων ποιητῶν»· ἄρχεται δὲ ἀπὸ πολυελέου τοῦ πρωτοψάλτου Δανιήλ. ΙΗ'—ΙΘ' ἑκατ. Φύλλα 80 ὕψ. 0,163 καὶ πλ. 0,12.

599. Κεκραγάρια Πέτρου τοῦ Βυζαντίου καὶ καθίσματα καὶ ἀναβαθμοὶ τοῦ Χουρμούζη. Φύλλα 201 ὕψ. 0,17 καὶ πλ. 0,118.

600. Εἱρμολόγιον Πέτρου τοῦ Πελοποννησίου γραφὲν ἀρχομένης τῆς ΙΘ' ἑκατονταετηρίδος. Φύλλα 116 ὕψους 0,175 καὶ πλάτους 0,115.

601. «Εἱρμολόγιον σὺν θεῷ ἁγίῳ περιέχον πάντας τοὺς εἱρμοὺς τῶν τε δεσποτικῶν καὶ θεομητορικῶν ἑορτῶν τοῦ ὅλου ἐνιαυτοῦ· ποίημα κῦρ Πέτρου πρωτοψάλτου τῆς μεγάλης ἐκκλησίας, τοῦ Βυζαντίου». ΙΗ'—ΙΘ' ἑκατ. Φύλλα 215 ὕψ. 0,172 καὶ πλ. 0,118.

602. Ἀνθολογία ἀρχομένη ἀπὸ μαθημάτων τοῦ Μπερεκέτη. ΙΗ' ἑκατ. Φύλλα 226 ὕψ. 0,16 καὶ πλ. 0,108.

603. Ἀνθολογία ἀρχομένη ἀπὸ δοξαστικῶν ἀνωνύμων καὶ γραφεῖσα κατὰ τὴν ΙΗ' ἑκατ. Φύλλα 235 ὕψ. 0,162 καὶ πλάτους 0,112.

604. Ἀνθολογία, ἧς ἐν ἀρχῇ «σημάδια κατ' ἦχον κῦρ Ἰωάννου μαΐστορος τοῦ Κουκουζέλη». Πρὸς τὸ τέλος εἱρμοὶ ἀναστάσιμοι Ἰωάννου πρωτοψάλτου. ΙΗ' ἑκατ. Φύλλα 256 ὕψ. 0,165 καὶ πλ. 0,118.

605. «Καταβασίαι τῶν δεσποτικῶν καὶ θεομητορικῶν ἑορτῶν, συντεθεῖσαι κατὰ τὸ ὕφος τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας παρὰ τοῦ μουσικολογιωτάτου κῦρ Πέτρου λαμπαδαρίου τοῦ Πελοποννησίου». Τέλος τῆς ΙΗ' ἑκατ. Φύλλα 132 ὕψ. 0,165 καὶ πλ. 0,115.

606. Ἀναστασιματάριον Πέτρου τοῦ Πελοποννησίου, ἀρχόμενον ἀπὸ μουσικοῦ γυμνάσματος Νήφωνος ἱερομονάχου ἁγιοταφίτου, οὗ ἡ ἀρχή· «Μουσική ἐστιν ἐπιστήμη μέλους» κτλ. Φύλλα 155 ὕψ. 0,17 καὶ πλ. 0,122.

607. Ἀναστασιματάριον ἐμπεριέχον συνθέσεις Δανιὴλ πρωτοψάλτου, «ἀναστάσιμα καλλωπισθέντα παρὰ κῦρ Χρυσάφου καὶ πρωτοψάλτου τῆς μεγάλης ἐκκλησίας» καὶ σύντομα ἑωθινὰ ἀνωνύμου. Ἐν τέλει· «καὶ τόδε σὺν τοῖς ἄλλοις πέφυκε κτῆμα Φιλήμονος μοναχοῦ τοῦ Κυπρίου· ὠνάμην ἀργυρίοις 25—1810, νῦν δὲ ἀρχιερατεύων τῷ ,αωλζ' τῆς Γάζης τοῦ θρόνου τῶν Ἱεροσολύμων». Φύλλα 110 ὕψ. 0,17 καὶ πλ. 0,116.

608. Εἱρμολόγιον Πέτρου τοῦ Πελοποννησίου γραφὲν μηνὶ ἰουνίῳ τοῦ ἔτους 1796 παρά τινος Μανουήλ. Φύλλα 135 ὕψ. 0,17 καὶ πλ. 0,113. Ἀνῆκε δὲ πρότερον τῷ ἱερομονάχῳ Σαμουὴλ Πελοποννησίῳ τῷ ἁγιοταφίτῃ.

609. Ἀνθολογία ἀκέφαλος, ἀνήκουσα πάλαι τῷ ἁγιοταφίτῃ ἀρχιδιακόνῳ Ἰωακείμ. ΙΖ' ἑκατ. Φύλλα 189.

610. Μανουὴλ Χρυσάφου τοῦ νέου κεκραγάρια μετὰ τῶν αὐτῶν ἀναστασίμων. Ἐν ἀρχῇ ἡ συνήθης περὶ σημαδοφώνων διατριβή. ΙΗ' ἑκατ. Φύλλα 99 ὕψ. 0,168 καὶ πλ. 0,12.

611. Ἀνθολογία κεκραγαρίων καὶ πασαπνοαρίων Χρυσάφου τοῦ νέου, πολυελέων Πέτρου Μπερεκέτη κτλ. Τεῦχος τῆς ΙΗ' ἑκατ. ἐκ φύλλων 321 ὕψ. 0, 168 καὶ πλ. 0,108. Ἐν ἀρχῇ σημείωσις· «ἐκ τῆς τοῦ παναγίου τάφου βιβλιοθήκης, ͵αωιε'. Καμαράσης Παρθένιος».

612. Χρυσάφου τοῦ νέου κεκραγάρια καὶ ἑωθινὰ τονισθέντα παρὰ Θεοδοσίου ἱεροδιακόνου. Τεῦχος τῆς ΙΗ' ἑκατ. ἐκ φύλλων 58 ὕψ. 0, 166 καὶ πλ. 0, 112.

613. Ἀνθολογία διαφόρων μουσικοδιδασκάλων, ἀρχομένη ἀπὸ τῆς συνήθους περὶ σημαδοφώνων διδασκαλίας καὶ λήγουσα εἰς εἱρμοὺς διαφόρων ψαλτῶν. Τεῦχος τῆς ΙΗ' ἑκατ. ἐκ φύλλων 262 ὕψ. 0, 167 καὶ πλ. 0,11.

614. Ἀνθολογία κεκολοβωμένη, γραφεῖσα περὶ τὸ τέλος τῆς ΙΗ' ἑκατ. καὶ ἐμπεριέχουσα τρισάγιον τοῦ Σταυροῦ ἐξηγηθὲν παρὰ Πέτρου λαμπαδαρίου, χερουβικὰ τῆς ἑβδομάδος σύντομα τοῦ αὐτοῦ, ἕτερα κατ' ἦχον Πέτρου δομεστίκου, κοινωνικὰ κατ' ἦχον καὶ ἔντεχνα Δανιὴλ λαμπαδαρίου κλπ. Ἔσωθεν τῆς πρώτης πινακίδος· «͵αως' ἰουλίου πρώτη»—«ἐκ τῶν τοῦ Θεοχάρη Κυπρίου· ἐπωλήθη παρά τινος καὶ ἐπριάθη παρ' ἐμοῦ ἐν ἔτει ͵αω' 22 ὀκτωβρίου α'». Ὕψ. 0, 163 καὶ πλ. 0, 115.

615. Ἀναστασιματάριον μετὰ τῆς περὶ σημαδοφώνων διδασκαλίας, ἔτι δὲ εἱρμοὶ χερουβικὰ καὶ κοινωνικὰ Πέτρου Μπερεκέτη. Εἰς τὸ τέλος· «ἔγειναν ὅλα τὰ γραμμένα φύλλα 366: κάνουν ὅλα τετράδια 45 καὶ 6 φύλλα. Πρωτοσύγκελλος Διονύσιος

Πελοποννήσιος». Τεῦχος τῆς ΙΗ' ἑκατ., ὕψους 0, 158 καὶ πλάτους 0, 11.

616. Ἀκέφαλος τετονισμένη ὀκτώηχος, γραφεῖσα περὶ τὸ τέλος τῆς ΙΗ' ἑκατ. Φύλλα 178 ὕψ. 0, 162 καὶ πλ. 0, 105.

617. Ἀκέφαλον δοξαστάριον τῆς ΙΖ' ἑκατ., ἐμπεριέχον συνθέσεις Γερμανοῦ νέων Πατρῶν, Ἰὼβ πρωτοψάλτου, Ἰωάννου Κουκουζέλη καὶ ἄλλων· Φύλλα 237 ὕψ. 0, 165 καὶ πλ. 0, 116. Ἐπὶ κενοῦ δὲ φύλλου προσετέθη ἡ ἑξῆς σημείωσις· «† ἐσταχώθη παρ' ἐμοῦ τοῦ ἐλαχίστου Θεοφάνους ἱερομονάχου εἰς τοὺς χιλίους ἑπτακοσίους δεκαεπτὰ ἐν μηνὶ σεπτεβρίου 26, καὶ εἶναι τοῦ πανοσιωτάτου ἁγίου πρωτοσυγκέλλου ἁγιοταφίτη παπᾶ κυρίου κῦρ Ζαχαρίου ἐκ τῆς περιφήμου Ναούσης».

618. Ἀναστασιματάριον τῆς ΙΗ' ἑκατ. μετὰ τῆς περὶ σημαδοφώνων διδασκαλίας. Φύλλα 185 ὕψ. 0, 157 καὶ πλ. 0, 105.

619. Ἀνθολογία ἐκκλησιαστικῆς μουσικῆς, γραφεῖσα περὶ τὸ τέλος τῆς ΙΖ' ἑκατ. καὶ ἀρχομένη ἀπὸ κεκραγαρίων· εἰς δὲ τὸ τέλος προσετέθησαν «κατ' ἦχον σύντομα χερουβικὰ τοῦ οἰκονόμου». Φύλλα 323 ὕψ. 0, 16 καὶ πλ. 0, 11. Κτήτορες δὲ σημειοῦνται Ἰωακεὶμ διάκονος ἐκ παλαιῶν Πατρῶν (1766) καὶ Βαρνάβας ἱερομόναχος ἁγιοταφίτης (1799).

620. «Ἀνθολόγιον τοῦ στιχηραρίου» σητόβρωτον, γραφὲν κατὰ τὴν ΙΗ' ἑκατ. Φύλλα 200 ὕψ. 0, 157 καὶ πλ. 0, 108.

621. Μικρὰ ἀνθολογία ἐκκλησιαστικῆς μουσικῆς, ἀποτελουμένη ἐκ τετραδίων τῆς ΙΖ' ΙΗ' καὶ ΙΘ' ἑκατ. Φύλλα 189 ὕψ. 0, 162 καὶ πλ. 0, 11. Ἐν ἀρχῇ δὲ κεῖνται πολυέλεοι χερουβικὰ καὶ καταβασίαι Πέτρου Πελοποννησίου τοῦ λαμπαδαρίου.

622. Ἑτέρα ἀνθολογία ἀρχομένη ἀπὸ χερουβικῶν τοῦ αὐτοῦ Πέτρου. Σελίδες 303 γραφεῖσαι περὶ τὸ τέλος τῆς ΙΗ ἑκατ. Ὕψ. 0, 163 καὶ πλ. 0, 111.

623. Ἑτέρα ἀρχομένη ἀπὸ καταβασιῶν καὶ ἐμπεριέχουσα συνθέσεις διαφόρων ψαλτῶν, ὡς Φιλαρέτου ἱερομονάχου τοῦ Κουζίνου, Παρθενίου ἱερομονάχου Νομπίλου καὶ ἄλλων· ἐγράφη δὲ περὶ τὰς ἀρχὰς τῆς ΙΗ' ἑκατ. Φύλλα 240 ὕψ. 0, 16 καὶ πλ. 0, 11.

642. Τεῦχος ἐξ 27 φύλλων ὕψ. 0, 448 καὶ πλ. 0, 312, ἐμπεριέχον πίνακας εἰκόνων καὶ ἑρμηνείαν αὐτῶν, ἧς ἡ ἐπιγραφή· «Δήλωσις τῶν ἐν ἑκάστῳ τῶν τεσσαράκοντα καὶ τριῶν καταλυμάτων τοῦ ἔμπροσθεν πίνακος διαπραχθέντων τε καὶ συμβάντων τοῖς Ἑβραίοις, ὅτε διὰ τοῦ προφήτου Μωυσέως ἐξ Αἰγύπτου ἐπορεύοντο εἰς τὴν γῆν τῆς ἐπαγγελίας, πλανώμενοι δι' ὀργὴν Κυρίου ἐν τῇ ἀβάτῳ ἐρήμῳ ἔτη τεσσαράκοντα· ὅρα καὶ τὸ ἐν τῇ ια' σελίδι διάγραμμα, ἤτοι πίνακα τῶν καταλυμάτων». Ἐγράφησαν δὲ ἐχαράχθησάν τε καὶ ἐχρωματίσθησαν ἐν Ἱεροσολύμοις περὶ τὰς ἀρχὰς τοῦ παρόντος αἰῶνος.

643. Ἕτερον μεῖζον ὕψ. 0, 525 καὶ πλ. 0, 382, ἐμπεριέχον εἰκονισμένας σκηνὰς ἐκ τῆς παλαιᾶς τε καὶ νέας Διαθήκης εἰλημμένας· ἄρχεται δὲ ἀπὸ τῆς πλάσεως τοῦ γηίνου πλανήτου.

644. Ἀκολουθία τοῦ ἱεροῦ νιπτῆρος κατὰ τὴν ἐν Ἱεροσολύμοις τάξιν, γραφεῖσα ἐν ἔτει 1855 διὰ χειρὸς Πορφυρίου ἱεροδιακόνου καὶ τυπωθεῖσα κατόπιν παρὰ τοῦ μακαριωτάτου πατριάρχου πρώην Ἱεροσολύμων κυρίου Νικοδήμου τοῦ Α'.

645. «Actes, attestats, passeports de la chancellerie du Consulat Impérial de Russie à Jérusalem». Κατάστιχον ἐπίσημον, οὗ ἐνέα φύλλα περιλαμβάνουσι ἰταλιστὶ γεγραμμένας πράξεις τῶν ἐτῶν 1843—1847.

ΤΕΛΟΣ ΤΟΥ ΠΡΩΤΟΥ ΤΜΗΜΑΤΟΣ.

ΚΑΤΑΛΟΓΟΣ

ἑλληνικῶν κωδίκων τῆς ἐν Ἱεροσολύμοις πατριαρχικῆς βιβλιοθήκης κατὰ τὸ 1817 ἔτος [1].

(Ἀνθίμου μοναχοῦ τοῦ ἐξ Ἀγχιάλου στίχοι εἰς τὴν βιβλιοθήκην) [2].

Ψωμὶ ὁ πεινασμένος
βρύσιν ὁ διψασμένος
ζητῶν περιπατεῖ
καὶ δὲν ἀγανακτεῖ.
Ὕδωρ σὺ ζῶν γυρεύεις,
ἄρτον ζωῆς μαστεύεις·
ποῦ ἀεροβατεῖς
καὶ κέντρα σὺ λακτεῖς;
Μὴ ζήτει Κασταλίαν
τὴν μύθου βρύσιν θείαν
(ἐκλείπει γὰρ τανῦν),
μηδὲ τὴν ἀμβροσίαν
μακάρων πανδαισίαν,
λέξιν μόνον κενήν.
Ἰδοὺ ἡ Κασταλία,
ἐδῶ ἡ πανδαισία·
μὴ βραδύνῃς, ἐλθέ.
Ῥέει ἀνεξαντλήτως,
τρέφει ἀδιαλείπτως·
γεύθητι καὶ ἰδέ.
Γραφῶν αἱ ἀναγνώσεις
καὶ τοῦ Θεοῦ ἡ γνῶσις
σὲ ἀπαθανατοῦν.
Τὰ τούτων ἐναντία

[1] Ὁ κατάλογος οὗτος κεῖται ὑπ' ἀριθ. 505, τὴν δὲ περιγραφὴν αὐτοῦ ὅρα ἔμπροσθεν ἐν σελ. 457.—[2] Οἱ στίχοι οὗτοι ζῶντος τοῦ συγγραφέως κατεχωρίσθησαν τὸ πρῶτον ἐν τῷ ἑξῆς βιβλιαρίῳ· «Διατριβὴ περὶ τῶν ἀληθῶν αἰτίων τῆς κορυφώσεως τῶν χρεῶν τοῦ Κοινοῦ τοῦ παναγίου Τάφου, καὶ περὶ τῶν τρόπων τῆς γενομένης ἀναμορφώσεως ὑπὸ τοῦ μακαριωτάτου πατριάρχου τῶν Ἱεροσολύμων κυρίου κυρίου Ἀθανασίου γ΄, σχεδιασθεῖσα ὑπὸ τοῦ λογιωτάτου κυρίου Γ. Κ[ωνσταντινίδου] ἐν ἔτει ͵αωλζ΄ κατὰ μῆνα ἰούνιον· δαπάνῃ δὲ τοῦ Παναγίου Τάφου ἐκδίδοται ἤδη πρῶτον εἰς φῶς ἐπὶ τὸ διανεμηθῆναι δωρεὰν εἰς τοὺς εὐλαβεστάτους ὁμογενεῖς. Ἐν τῇ τοῦ βασιλικοῦ πανεπιστημίου τυπογραφίᾳ, ἐν Μόσχᾳ 1837», σ. 31.

καὶ κόσμ' ἐπιθυμία
στὸν Ἅδην σὲ γκρεμοῦν.
Θεὸς καλὸν διδῴη,
κατ' ἄμφω εὖ βιῴη
Πολύκαρπος κλεινός,
πατὴρ καὶ πατριάρχης
καὶ θεῖος ποιμενάρχης
τῆς Ἱερουσαλὴμ,
καὶ ὁ ἐπιτροπάρχης,
τὰ πάντα ἀριστάρχης,
Πέτρας ὁ Μισαήλ·
ὧν προσταγῇ τῇ θείᾳ
ἄκρᾳ φιλολογίᾳ
εἰργάσθη τὸ καλὸν
μετὰ κόπου τοῦ πολλοῦ
τοῦ καμαράση ἀρχηγοῦ
Παρθενίου Θετταλοῦ.

͵αωιζ' νοεμβρίου α'.

Εἴδησις καὶ διασάφησις περὶ τοῦ καταλόγου.

